[2] Βλ. π.χ. Ch. Diehl, Manuel d'art byzantin, 2a ἔκδ. Paris, 1925-1926, II, σ. 630, εἰκ. 304,305 (Κῶδ. 6 Μ. Ἁγ. Παντελεήμονος Ἄθω) [H. Omont], Evangiles avec miniatures byzantines du XIe siècle, Paris, [1908], II, πίν. 119α (Κῶδ. 74 Ἐθν. Βιβλιοθ. Παρισίων), Δελτίον Ρωσ. Ἰνστιτ. Κωνσταντινουπόλεως, 12,1907, Λεύκωμα, πίν. XXXI. 195,196 (Ὀκτάτευχος Σεραγίου).

Οἱ βυζαντινοὶ λοιπὸν τεχνῖται οὔτε ἀπὸ λόγους προοπτικῆς καὶ φυσικῆς ἀποδόσεως τῆς πραγματικότητος οὔτε ἀπὸ ἄγνοιαν τῶν πραγμάτων κατέληξαν εἰς τὴν δημιουργίαν τῆς παραδόξου εἰκόνος τοῦ στυλίτου ἐν προτομῇ ἐπὶ τοῦ κίονος. Ἀπὸ τοῦ 5ου αἰῶνος, ὁπότε ἐμφανίζεται ὁ πρῶτος καὶ περιφημότερος τῶν στυλιτῶν, ὁ Συμεών, μέχρι τοῦ 19ου ἀκόμη, ἀσκηταί, διερχόμενοι τὴν σκληρὰν ζωήν των ἐπὶ τῆς κορυφῆς κίονος δὲν ἔπαυσαν νὰ ὑπάρχουν[1]. Οἱ βυζαντινοὶ τεχνῖται, ἂν καὶ καθημερινῶς τοὺς ἔβλεπον καὶ εἰς τὴν Ἀνατολὴν καὶ εἰς αὐτὴν τὴν Κωνσταντινούπολιν, οὐδέποτε ἐσκέφθησαν νὰ τοὺς παραστήσουν ὅπως ἦσαν εἰς τὴν πραγματικότητα, καὶ τοῦτο, ἵνα μὴ εἰς τὰς εἰκόνας των παρέχουν οὗτοι τὴν ἐντύπωσιν ἀγαλμάτων. Καὶ ὅταν δὲ ἐνίοτε, διηγούμενοι δι' εἰκόνων τὸν βίον των, εὑρέθησαν εἰς τὴν ἀνάγκην νὰ τοὺς παραστήσουν ὀρθίους, προσεπάθησαν παντοιοτρόπως νὰ κολάσουν τὴν ἐντύπωσιν τοῦ ἐπὶ στύλου ἀγάλματος. Παράδειγμα αἱ μικρογραφίαι ἐκ τοῦ βίου τοῦ Συμεὼν εἰς τὸν κώδ. 14 τῆς ἁγιορειτικῆς Μονῆς Ἐσφιγμένου, ἀνήκοντα εἰς τὸν 11ον αἰῶνα. Ἐκεῖ ὁ Συμεών, ἂν καὶ ὄρθιος, δίδει τὴν ἐντύπωσιν ὅτι οἱ πόδες του, ἀπὸ τῶν γονάτων περίπου, εἰσχωροῦν εἰς τὸ κιονόκρανον[2].

Ἓν ἀκόμη ζήτημα εἶναι ἀνάγκη νὰ μᾶς ἀπασχολήσῃ: Πόθεν ἔλαβον οἱ βυζαντινοὶ τεχνῖται τὴν πρώτην ἰδέαν τῆς ἀπεικονίσεως τῶν στυλιτῶν ἐν προτομῇ ἐπὶ τοῦ κίονος; Μετὰ τοῦ Demus[3] πιστεύω καὶ ἐγὼ ὅτι πρὸς τὸν τρόπον αὐτὸν τῆς παραστάσεως τῶν στυλιτῶν δὲν εἶναι ξέναι αἱ ἐπὶ ὑψηλῶν κιόνων προτομαὶ αὐτοκρατόρων κ.λ.π. Ὁ Μαλάλας (Bonn, σ. 279) διηγεῖται ὅτι εἰς τὴν στέγην τοῦ μεγάλου ναοῦ, τὸν ὁποῖον ἔκτισεν εἰς τὴν Κύζικον ὁ Ἀδριανός, ἔστησε καὶ τὴν ἰδίαν προτομὴν ἐπὶ κίονος «...*στήσας ἑαυτῷ στήλην μαρμαρίνην στηθαρίου μεγάλου πάνυ*...», σῳζομένην ἀκόμη ἐπὶ τῶν ἡμερῶν τοῦ διηγουμένου τοῦτο χρονογράφου. Ὁ ἴδιος ἐπίσης διηγεῖται ὅτι μετὰ τὸν ἐπὶ Γαΐου Καλιγούλα μεγάλον σεισμόν, τὸν καταστρέψαντα τὴν Ἀντιόχειαν, ὁ φιλόσοφος καὶ μάγος (τελεστὴς) Δεββόριος, διὰ νὰ προστατεύσῃ τὴν πόλιν ἀπὸ ὁμοίαν μελλοντικὴν καταστροφήν, ἔστησε εἰς μίαν τῶν πλατειῶν της πορφυροῦν κίονα καὶ ἐπ' αὐτοῦ προτομήν, «*στηθάριν μαρμάρινον*», χαράξας ἐπὶ τοῦ στήθους της τὴν ἐπιγραφήν: «*Ἄσειστα, ἄπτωτα*»

[1] Delehaye, Ἔνθ' ἀν. CXX - CXXXV.
[2] Brockhaus, Ἔνθ' ἀν. πίν. 26.
[3] O. Demus, Byzantine Mosaic Decoration, London, 1947,29.

(Μαλάλας, Bonn, σ. 265)[1]. Ἐκ τῶν προχείρως συλλεγέντων δύο αὐτῶν παραδειγμάτων γίνεται σαφὲς ὅτι τοιοῦτοι στῦλοι, φέροντες προτομὰς αὐτοκρατόρων ἢ ἄλλας μορφάς, δὲν ἦσαν ἀσυνήθεις εἰς τὴν Ἀνατολὴν καὶ ὅτι συνεπῶς δὲν ἀποκλείεται νὰ ἔδωκαν οὗτοι εἰς τοὺς βυζαντινοὺς τεχνίτας τὴν πρώτην ἰδέαν τῆς παραστάσεως τῶν στυλιτῶν ἐν προτομῇ εἰς τὴν κορυφὴν τοῦ κίονος. Πρὸς ἓν τοιοῦτον συμπέρασμα ὁδηγεῖ καὶ τὸ γεγονὸς ὅτι οἱ κίονες τῶν στυλιτῶν εἰκονίζονται σχεδὸν πάντοτε, ὡς εἴδομεν, ἐκ χρωματιστοῦ μαρμάρου καὶ φέρουσι κιονόκρανα μὲ πλουσίαν γλυπτικὴν διακόσμησιν, ὡς καὶ βάσιν μὲ γλυφάς. Τοιοῦτοι δὲ πράγματι ἦσαν οἱ ὑψηλοὶ κίονες μὲ τὰς προτομὰς αὐτοκρατόρων ἢ ἄλλων προσώπων, ὅπως μᾶς ἐπιτρέπουν νὰ συμπεράνωμεν ὄχι μόνον αἱ ἀνωτέρω παρατεθεῖσαι πληροφορίαι τοῦ Μαλάλα, ἰδίως ἡ περὶ τοῦ πορφυροῦ κίονος τῆς Ἀντιοχείας, ἀλλὰ καὶ οἱ σῳζόμενοι στῦλοι εἰς τὴν Κωνσταντινούπολιν, οἱ φέροντες ἄλλοτε ἐπὶ τῆς κορυφῆς ἀγάλματα αὐτοκρατόρων, ἀπὸ τοὺς ὁποίους, ὡς εἴδομεν, ἀντεγράφησαν ἀπὸ τοὺς βυζαντινοὺς τεχνίτας αἱ θύραι καὶ τὰ μικρὰ καθ' ὕψος παράθυρα, τὰ εἰκονιζόμενα εἰς τοὺς κίονας τῶν στυλιτῶν.

Ὅτι δὲ τοιοῦτοι στῦλοι μὲ προτομὰς αὐτοκρατόρων ἀνηγείροντο καὶ κατὰ τοὺς βυζαντινοὺς ἀκόμη χρόνους δεικνύει ἡ προτομὴ τοῦ Βασιλείου Β' τοῦ Βουλγαροκτόνου, εἰκονιζομένη ἐπὶ ὑψηλοῦ κατακόσμου κίονος μετὰ βάσεως εἰς μίαν μικρογραφίαν τοῦ κώδικος τοῦ Ζωναρᾶ εἰς τὴν Βιβλιοθήκην Estense τῆς Μοδένης, ὁ ὁποῖος ἀνήκει εἰς τὸν 14ον ἢ 15ον αἰῶνα[2]. Τὴν παράστασιν αὐτὴν εὐστοχώτατα ὁ Σπ. Λάμπρος ἐσχέτισε πρὸς τὰς «*στήλας*», ὄνομα, μὲ τὸ ὁποῖον οἱ Βυζαντινοὶ ἀπεκάλουν τὰ ἀγάλματα τῶν αὐτοκρατόρων[3]. Ἡ εἰκὼν αὐτὴ τοῦ Βουλγαροκτόνου εἰς τὸν κώδικα τῆς Μοδένης κατ' οὐδὲν διαφέρει ἀπὸ τὰς παραστάσεις τῶν στυλιτῶν, καὶ μάλιστα ἀπὸ μερικὰς τῶν παλαιοτέρων, ὅπου τὸ περὶ τὸν στυλίτην περίφραγμα ἔχει παραλειφθῆ[4].

Ἂν καὶ ἡ ἰδέα τῆς παραστάσεως τοῦ στυλίτου ἐν προτομῇ ἐπὶ τοῦ κίονος δὲν φαίνεται νὰ εἶναι ξένη πρὸς τοὺς στύλους μὲ τὰς προτομὰς αὐτοκρατόρων καὶ ἄλλων προσώπων, ἐν τούτοις ἡ ἐπεξεργασία τῆς ἀρχικῆς αὐτῆς ἰδέας, ἡ ἐφαρμογή της εἰς τὰς εἰκόνας τῶν στυλιτῶν καὶ τέλος ἡ ἰσχυρὰ σχηματοποίησις τῆς εἰκόνος αὐτῆς ἀνήκουν ἐξ ὁλοκλήρου εἰς τοὺς βυζαντινοὺς τεχνίτας.

[1] Τοῦ δευτέρου τούτου περιστατικοῦ, τοῦ ἐκτιθεμένου ὑπὸ τοῦ Μαλάλα, μνείαν κάμνει καὶ ὁ L a s s u s, Ἔνθ' ἀν. σ. 80, σημ. 1, ἀλλὰ διὸ νὰ τὸ ἀπορρίψῃ, ὡς ἄχρηστον μετὰ τὴν ὑπ' αὐτοῦ δοθεῖσαν ἑρμηνείαν, ὅσον ἀφορᾷ εἰς τὴν παράστασιν τοῦ στυλίτου ἐν προτομῇ ἐπὶ τοῦ κίονος.

[2] Σ π. Λ ά μ π ρ ο υ, Λεύκωμα Βυζαντινῶν Αὐτοκρατόρων, Ἀθῆναι 1930, πίν. 55.

[3] Αὐτόθι, σ. 21.

[4] Π.χ. L a s s u s, Ἔνθ' ἀν. πίν. XVIII. 1, XXI. G r a b a r, Martyrium, Λεύκωμα, πίν. LXIII. 1.

Οὗτοι, μὲ τὴν ἀφαίρεσιν καὶ τὴν σχηματοποίησιν, ἔφθασαν εἰς τὴν δημιουργίαν εἰκόνος, ἡ ὁποία, ἂν καὶ ἐλαχίστην πλέον σχέσιν ἔχει μὲ τὴν πραγματικότητα, ἐν τούτοις δίδει ζωηρὰν καὶ ἐξόχως ἐντυπωτικὴν τὴν ἰδέαν τοῦ στυλίτου.

Ἡ εἰκὼν αὐτὴ τοῦ στυλίτου ἐν προτομῇ ἐπὶ τοῦ κίονος εὑρίσκεται βεβαίως ἔξω πάσης πραγματικότητος. Ἐν τούτοις αὕτη ἀποδίδει πολὺ ἐναργέστερον οἱασδήποτε ρεαλιστικῆς παραστάσεως τὸν ἔξω παντὸς κανόνος τῆς ἀνθρωπίνης ζωῆς τρόπον διαβιώσεως τοῦ στυλίτου ἐπὶ μακρὰς δεκάδας ἐτῶν ὀρθίου εἰς τὴν κορυφὴν τοῦ κίονος, τὸ σκληρότερον δηλαδὴ εἶδος ἀσκήσεως, τὸ ὁποῖον, κατὰ τὸν 5ον αἰῶνα, ἐπενόησεν ὁ Συμεών, ὁ ὑπὸ τοῦ Θεοδωρήτου ἀποκληθείς, καὶ δικαίως, «*τὸ μέγα θαῦμα τῆς οἰκουμένης*».

Α. ΞΥΓΓΟΠΟΥΛΟΣ

ΙΩΣΗΦ ΒΡΥΕΝΝΙΟΥ ΑΝΕΚΔΟΤΑ ΕΡΓΑ ΚΡΗΤΙΚΑ

«Βρυέννιος δὲ φωτὸς ἀπολαυέτω, ὃν ἐκτόπως ἀποτροπιαζόμενοι ἡμῶν οἱ διάφοροι ἐν ταῖς παρ' αὐτοῖς βιβλιοθήκαις φρουροῦσι τέως ἀνέκδοτον»

ΕΥΓΕΝΙΟΣ ΒΟΥΛΓΑΡΙΣ πρὸς Σαμουὴλ Οἰκουμ. Πατριάρχ. [1]

Παλαιόθεν γνωστὴ ἡ δρᾶσις καὶ ἡ ἀξία *Ἰωσὴφ τοῦ Βρυεννίου*, ἐγένετο τελευταίως ἀντικείμενον εὐρυτέρας ἐξετάσεως[2]· ἡ μορφὴ καὶ τὰ γραπτά του φαίνεται ὅτι θὰ μελετηθοῦν ἀκόμη καὶ πᾶσα περὶ τῆς ζωῆς καὶ τοῦ ἔργου του πληροφορία προστιθεμένη εἰς τὰ ἐγνωσμένα θὰ βοηθήσῃ εἰς τὴν καλυτέραν γνῶσιν τῶν κατὰ τοὺς τελευταίους Παλαιολόγους χρόνων τῆς ἐπαπειλουμένης πτώσεως[3]. Συνείδησις ὅλως ἰδιαιτέρα ὁ μοναχὸς καὶ διδάσκαλος Ἰωσήφ, συνέδεσε τὴν ζωὴν καὶ τὸ ἔργον του πρὸς τὰς δύο ἑλληνικὰς μεγαλονήσους, τὴν Κύπρον καὶ τὴν Κρήτην. Τὰς πρὸς ἀμφοτέρας σχέσεις του ἐξητάσαμεν ἤδη καὶ ἐν συνεχείᾳ θὰ διαφωτίσωμεν διὰ τῆς δημοσιεύσεως σχετικῶν κειμένων. Σήμερον παρέχεται εἰς ἡμᾶς ἡ εὐκαιρία δημοσιεύσεως ἐκ τοῦ πατμιακοῦ κώδ. *υμ'* δύο ἔργων τοῦ Βρυεννίου, ἐκ τῶν ὁποίων τὸ ἓν προδήλως ἐγράφη ἐν Κρήτῃ, τὸ δ' ἕτερον ἀφορᾷ εἰς τὴν ἐκεῖθεν ἀπέλασίν του (1401) μετὰ εἰκοσαετῆ διδασκαλίαν καὶ πατριαρχικὴν ἐξαρχίαν.

Περὶ τῆς ἐν Κρήτῃ διαμονῆς καὶ τῆς ἐκεῖθεν ἐξώσεως τοῦ Ἰωσήφ, δύναται νὰ ἴδῃ ὁ ἐπιθυμῶν τοῦτο πλείονα εἰς ὅσα ἐπὶ τούτῳ ἐγράψαμεν[4]. Ἐδῶ μόνον ὑπενθυμίζω ὅτι ἐντύπως ἔχομεν τὸν Ἐξιτήριον λόγον αὐτοῦ ἐκ Κρήτης, ἐκδοθέντα ὑπὸ Εὐγ. τοῦ Βουλγάρεως[5], καὶ ἐπιστολὴν πρὸς Γιανούλην Δὲ Σπίγαν, ἐπανεκδοθεῖσαν μετὰ βελτιώσεων παρ' ἡμῶν[6]. Καὶ εἰς μὲν

[1] Ἐκκλ. Ἀλήθεια Β' 1 Σεπτεμβρ. 1882, σ. 749α.

[2] Ν. Β. Τωμαδάκη, Ὁ Ἰωσὴφ Βρυέννιος καὶ ἡ Κρήτη κατὰ τὸ 1400, ἐν Ἀθήναις 1947. Ἐκεῖ καὶ πᾶσα ἡ μέχρι τοῦ 1947 βιβλιογραφία.

[3] Ὁ καθηγ. Φ. Κουκουλές, κρίνων τὸ περὶ Βρ. βιβλίον μου, ἐπηύξησε τὰς ἐκ τοῦ ἔργου τοῦ θεολόγου τούτου γνωστὰς λαογραφικὰς εἰδήσεις, περ. «Κρητικὰ Χρονικά», Β', 1948, σσ. 371 - 6.

[4] Ἔνθ' ἀνωτ. 83 ἑξ. ἰδίᾳ σ. 106 ἑξ. ὅπου ἐξετάζονται τὰ περὶ ἐξόδου αὐτοῦ ἐκ Κρήτης.

[5] Ἐν Λειψίᾳ 1784, ἐν Γ' τόμῳ τῶν Εὑρεθέντων σ. 34 ἑξ.

[6] Ἔνθ' ἀνωτ. σσ. 131 - 132.

τὸν λόγον τὸν ἐξιτήριον ὁ Βρ. ὁμιλεῖ περὶ *ἀποδημίας* ἐκ Κρήτης, εἰς δὲ τὴν ἐπιστολὴν περὶ *ἐξορίας*· ὡμίλει δ' ἐν τῇ ἐπιστολῇ ἀσφαλέστερον ἢ ἐν τῷ λόγῳ (ὁ ὁποῖος θὰ ἐτύγχανεν εὐρείας κυκλοφορίας)· φοβούμενος τὴν λογοκρισίαν τῶν Ἑνετῶν ἠδυνάτει νὰ χαρακτηρίσῃ τὰ πράγματα, οὕτω δὲ τὴν μὲν Ἑνετικὴν ἀριστοκρατίαν χείλει ἐπῄνει, τοὺς δὲ διεφθαρμένους ἱερωμένους τῆς Κρήτης, τοὺς συνεργήσαντας εἰς τὴν ἐξορίαν του καὶ φθάσαντας μέχρι σημείου ὑποταγῆς εἰς τὸν πάπαν, κατηγόρει· ἐπὶ πλέον προέτρεπε τοὺς ὀρθοδόξους τῆς μεγαλονήσου ν' ἀπέχουν ἀπὸ τὴν κοινωνίαν τῶν τοιούτων ἱερωμένων.

Τύχῃ ἀγαθῇ ἔχομεν σήμερον καὶ ἄλλο μνημεῖον τῆς ἐν Κρήτῃ δράσεως, τῆς ἐκεῖθεν ἀπελάσεως καὶ τῆς μετὰ ταῦτα ἐν Κων/λει διαβιώσεως τοῦ Βρυεννίου, *Λόγον πρὸς τοὺς Κρῆτας παραμυθητικόν*, ὃν περαιτέρω ἐκδίδω ἐκ τοῦ κώδ. υμ' τῆς Πάτμου. Τοῦ ἔργου πιστὸν ἀπόγραφον ἀπεστάλη εἰς ἐμὲ ὑπὸ τῆς Ἱ. Βασιλικῆς ταύτης Μονῆς[1]. Ὁ Λόγος δ' οὗτος οὐ μόνον εἶναι μνημεῖον ἁπλότητος καὶ καλλιεπείας, ἀλλὰ καὶ πλείστας ὅσας περὶ τοῦ Βρυεννίου παρέχει εἰς ἡμᾶς εἰδήσεις, ἢ ὅλως νέας ἢ ἐπικυρούσας ἢ ἀναιρούσας τὰς γνωστάς.

Καὶ πρῶτον μὲν περὶ πατρίδος[2] καὶ ἡλικίας[3]. Ῥητῶς ὀνομάζει τὴν βασιλεύουσαν ὡς πατρίδα αὐτοῦ ὁ Βρ. «Τὸ τῆς πόλεως (=Κων/λεως) εἰς

[1] Καὶ ἐντεῦθεν εὐχαριστοῦμεν τοὺς κληρικοὺς τοῦ ἱεροῦ καθιδρύματος διὰ τὸ ἀπόγραφον τοῦ κώδικος. Ὁ κῶδιξ ΥΜ' τῆς Πάτμου ἐγράφη τῷ ,ςϡκθ' ἔτει [1421] χειρὶ Μιχαὴλ ἱερέως Καλοφρενᾶ, σύγκειται δ' ἐκ φύλλων 180. Πρβλ. Πατμιακὴ Βιβλιοθήκη ὑπὸ Ἰωάννου Σακκελίωνος. Ἀθήνησιν 1890, σ. 199.

[2] Πατρίδα παρεδέχθημεν, Ἔνθ' ἀνωτ. σσ. 17 - 18, νῆσόν τινα μικράν, ἀποκρούσαντες τὴν Κωνσταντινούπολιν. Τοῦτο δὲν φαίνεται νῦν ὀρθόν.

[3] Ἔνθ' ἀνωτ. σ. 17, ἐδέχθημεν γεννηθέντα τὸν Βρ. περὶ τὸ 1340. Δὲν νομίζομεν ὅτι κατόπιν τῶν νέων μαρτυριῶν πρέπει νὰ ἐπανέλθωμεν εἰς τὸ 1350, καὶ ἐὰν ἀκόμη τὸ ἐπιχείρημα ἡμῶν περὶ σχέσεων τοῦ Βρ. πρὸς τὸν μητροπ. Θεσσαλονίκης Νικόλαον Καβάσιλαν δὲν εὐσταθῇ, πρβλ. Revue des Études Byzantines VI, 1948, σσ. 117 - 118. Ὅτι ὁ Νικόλαος Καβάσιλας οὐδέποτε ὑπῆρξεν ἀρχιερεὺς Θεσσαλονίκης, ἤδη ὑπεστήριξεν ὁ πατὴρ S. Salaville A.A., Brevis notitia de Nicolao Cabasila ejusque liturgico-spirituali doctrina, «Ephemerides Litourgicæ» Ῥώμη 1936, σσ. 384 - 401 (ὅρα καὶ κρίσιν ὑπὸ A. Raes S.J. OCP 3, 1937, σ. 703) καὶ Nicolas Cabasilas, Explication de la Divine Liturgie, Introduction et traduction de S. Salaville, A.A. «Sources Chrétiennes», Παρίσιοι 1943.

Ἡ ἀντίθετος ἄποψις, στηριζομένη εἰς γραφὴν τοῦ Minus τοῦ Φραντζῆ, PG 156, στ. 1036 - 7, ἐγένετο ἀσπαστὴ ὑπὸ ἄλλων καὶ τοῦ L. Petit. Ὄντως τὸ Minus φέρει τὴν ὁσιωτάτην Θωμαΐδα ὡς μεταβᾶσαν εἰς Θεσσαλονίκην «*Νικολάου*» τοῦ Καβάσιλα καὶ ἀδελφοῦ αὐτῆς ἀρχιερέως ἐκεῖσε ὄντος». Εἰς τὸν τόπον τοῦ χωρίου τούτου τὸ Majus ἔχει «Καὶ μετά τινα καιρὸν ἀπῆλθεν εἰς Θεσσαλονίκην διὰ τὸ ἐκεῖσε εἶναι τὸν ἀδελφὸν αὐτῆς Καβάσιλαν ἀρχιερέα», Bon 139, PG 156, στ. 751, ὅπερ ὁ Ἰ. Β. Παπαδόπουλος (Teubner, σ. 142) ἐξέδωκε «... διὰ τὸ ἐκεῖσε εἶναι τὸν <*Νεῖλον*> Καβάσιλαν καὶ ἀδελφὸν αὐτῆς ἀρχιερέα». Ἑπομένως ἡ εἰς τὸ

ἔρημον ἐξορίζεσθαι βέλτιον ἢ τσὐναντίον; ἐκ τῶν νήσων εἰς τὴν ἤπειρον ἢ ἐντεῦθεν ἐκεῖσε; Ὅπου τις ἐκ πολλοῦ διψᾷ καὶ προσμένειν ἐφίεται ἢ ἔνθα δυσαρεστεῖται καὶ ἀπαναίνεται;... *Εἰς τὴν πατρίδα ἐκ τῆς ἀλλοτρίας ἢ εἰς τὴν ἀλλοδαπὴν ἐκ τῆς ἐνεγκαμένης;* Εἰς τὴν πόλεων Πόλιν ἢ εἰς χωρίον ἀνώνυμον;»[1]. Ἀλλοτρία καὶ ἀλλοδαπή, ὡς ὑπόδουλος εἰς τοὺς Ἑνετούς, εἶναι ἐδῶ ἡ Κρήτη. Ὡς πρὸς τὴν ἡλικίαν «Αὐτὸς δ' ὑπερβὰς τὰ πεντήκοντα ἔτη σπουδαῖον οὐδὲν οὐδὲ γενναῖον ἐπιδείξασθαι ἴσχυσα»[2]. Τὴν ἔκφρασιν ταύτην συναντῶμεν καὶ εἰς ἄλλα ἔργα τσῦ Βρ. τῆς αὐτῆς ἐποχῆς[3].

Ὡς πρὸς τὸν χρόνον διαμονῆς ἐν Κρήτῃ ἐπαναλαμβάνεται ἡ περὶ εἰκοσαετίας πληροφορία «καὶ ἀνελπίστως εἴκοσιν ἔτη πολιτευόμενος»[4].

Ὡς πρὸς τὴν διαμονήν ἐν Κρήτῃ[5]: «τῆς πόλεως ᾤκουν αὐτὸ τὸ μεσαίτατον». Πόλις ἐνταῦθα βεβαίως εἶναι ὁ Χάνδαξ[6] (Candia, Κρήτη ἄλλως)

Minus τό *Νικόλαος* ἐγράφη ἀντὶ τοῦ *Νεῖλος*, ἢ ὁ Νεῖλος οὗτος ἐλέγετο πρὸ τοῦ ἱερωθῆναι Νικόλαος. Ὁπωσδήποτε ἡ Θωμαῒς ἦτο μήτηρ «τοῦ σοφωτάτου Καβάσιλα Νικολάου» (οὐχὶ ἀρχιερέως) καί ἀδελφὴ τοῦ ἀρχιερέως Νείλου (πιθανόν κατὰ κόσμον Νικολάου). Ἄν ὁ Νικόλαος, ἀνεψιός τῶν Καβασιλέων, οὐδέποτε ἀνῆλθεν εἰς τόν θρόνον, ἡ πρός αὐτόν ἐπιστολή τοῦ Βρ., δύναται νά ἐγράφη καί μετὰ τὸ 1363, ἑπομένως οὐδεμίαν ἀποδεικτικὴν ἀξίαν ἔχει ὡς πρός τὴν ἡλικίαν τοῦ γράφοντος Ἰωσήφ Βρυεννίου.

Οὐδεμίαν ἐξ ἄλλου ἀποδεικτικὴν ἀξίαν ἔχει ἡ αὐτή ἐπιστολή περὶ τῆς ἡλικίας τοῦ Νικολάου Καβάσιλα, παρά τὰ ἀντιθέτως σημειούμενα ἐν REB VI, 1948, σ. 118.

[1] Παρ. 456 - 457.

[2] Παρ. 483 - 484.

[3] Τωμαδάκης, Ἔνθ' ἀνωτ. σ. 16 - 17.

[4] Πόθεν ἤρχετο καί πότε ἔληγεν ἡ εἰκοσαετία ἄλλο ζήτημα. Παλαιότερον ἐνομίζετο ὅτι ἡ εἰς Κρήτην ὑπηρεσία ἕπεται τῆς εἰς Κύπρον ἀποστολῆς (1407). Ἀλλ' εἰς τήν παρ' ἡμῶν δημοσιευθεῖσαν (Ἔνθ' ἀνωτ. σσ. 133 - 138) ἐπιστολήν πρός Ἰωάννην Συριανόν ἐν Κρήτῃ διαμένοντα, λέγει ὁ Βρ. ὅτι δέν ἦτο πρόθυμος νά μεταβῇ εἰς Κύπρον καὶ δι' ἄλλους λόγους καί διά τοῦτο: «ὥστε μή τοὺς ἀκούσοντας τοῦτο Λατίνους ὡς ἐπί τούτῳ σκοπῷ τήν μακράν ἐκείνην πορείαν ἐποιησάμην, *συμβαλόντας καί τά ἐν τῇ Κρήτῃ πραχθέντα μοι*, ἐχθροὺς ἀσπόνδους ἐμαυτοῦ καταστῆσαι, γινομένους ὑπόπτους περὶ ἐμοῦ καί εἰς τό μετέπειτα», Ἔνθ' ἀνωτ. σ. 133.

[5] Περί ἧς μικρὸν σημείωμα τοῦ Μενελάου Γ. Παρλαμᾶ: Ὁ τόπος τῆς ἐν Κρήτῃ διαμονῆς Ἰωσήφ Βρυεννίου περ. Κρητικά Χρονικά Β', 1948, σσ. 366-368, δεχομένου ὅτι ὁ ἐν Κρήτῃ ὑποτυπούμενος τόπος ὡς περιγράφεται ὑπὸ τοῦ Βρ. εἰς τήν πρός Δε Σπίγαν ἐπιστολήν του, εὑρίσκεται εἰς τήν ἐπαρχίαν Πεδιάδος παρά τὸ χωρίον *Σμάρι*, ὅπου ἐπὶ ὑψηλῆς τοποθεσίας καλουμένης *Βουκολίδια* ναΐσκος τοῦ Ἀφέντη Χριστοῦ. Ἡ ἀξιόλογος αὕτη ἄποψις τοῦ Παρλαμᾶ ἀφήνει ἀνερμήνευτον τό ἐν τῇ ἐπιστολῇ «ἀντὶ τῆς *Ἄτρας*» καί ἰδίᾳ τὸ πῶς εἰς τοιοῦτον ἐρημητήριον διαμένων ὁ Βρ. διῴκει ἐπιτροπικῶς τὰ τῆς Ἐκκλησίας τῆς Κρήτης. Ἄν ἡ σύμπτωσις εἶναι ἐπιτυχής, φαίνεται μᾶλλον ὅτι τό Σμάρι τῆς Πεδιάδος εἶχε σχέσιν πρὸς τόν Δε Σπίγαν τοῦτον τόν παραλήπτην τῆς ἐπιστολῆς, πιθανῶς φεουδάρχην τοῦ τόπου, καί ὅτι ἐκεῖ ἐφιλοξενεῖτο ἢ παρεθέριζεν ὁ Βρ.

[6] «Ἐν τῷ Χάνδακι» (πόλει) λέγει ὁ Βρ. Τωμαδάκης, Ἔνθ' ἀνωτ. σ. 132. Τὸ ὅτι Κρήτη ἐλέγετο (δημωδῶς μᾶλλον) ὁ Χάνδαξ, πολλά μαρτύρια.

ὅπου ἀσφαλῶς κατῴκει ὁ Βρ. Ἐπειδὴ ὅμως οὗτος πολλαχοῦ ὁμιλεῖ περὶ ἐρήμου καὶ ἀγροτῶν, φαίνεται ὅτι συχνὰ παρέμενε καὶ εἰς μοναστήρια τῆς περιοχῆς. Οὕτως, ἐκτὸς τῶν ἤδη γνωστῶν πληροφοριῶν, σημειῶ ὅτι ἐν Κρήτῃ κατῴκει «χωρίον ἀνώνυμον»[1] καὶ τῷ ἦτο δυσάρεστον «ἀγρόταις διόλου συνομιλεῖν»[2].

Περὶ τῶν αἰτίων τῆς ἐξώσεώς του ἐκ Κρήτης ὁμιλεῖ ὁ ἴδιος διὰ μακρῶν, διευκρινῶν ὅτι λόγοι καὶ οὐχὶ ἔργα ἦσαν τά κινήσαντα τοὺς κατηγόρους του. Καὶ ἐδοκίμασαν μέν νά κατηγορήσουν αὐτὸν ἐπὶ *αἰσχρουργίᾳ* ἀλλ' ἀποτυχόντες «ἐπὶ τὸ ἀφανὲς καὶ ἀρχῆς ἁπτόμενον (=πολιτικὸν) ἔγκλημα καταφεύγουσιν»[3]. Κατηγορήθη ὡς ὑβριστὴς τῶν Ἑνετῶν «ἠκούσαμεν λόγους ἀχρείους ἀπόντος ἐκείνου (τοῦ Βρ.)»[4]. Οἱ κατήγοροι ἦσαν ἀφανεῖς, ἐσκόπουν τὸν θάνατον ἢ τὴν ἐξορίαν του, ἡ κρίσις ἐγένετο ἐρήμην αὐτοῦ. Ἐὰν ἡ κατηγορία ἀπετύγχανεν, ὁ Βρ. θὰ καθίστατο πάντως ὕποπτος καὶ θὰ ἠναγκάζετο μόνος του νὰ φύγῃ ἐκ Κρήτης. Ἡ τοιαύτη τακτικὴ τῶν διαβολῶν καὶ ψευδῶν καταγγελιῶν διήρκεσεν ἐπὶ δέκα ἔτη, κατὰ τὰ ὁποῖα καὶ σύνοδοι συνεκροτήθησαν κατ' αὐτοῦ ἐκκλησιαστικαί, καὶ πολιτικὰ συμβούλια συνεκλήθησαν. Ἀλλ' ἐκεῖνος ἐσιώπα μὲν διὰ τὰς κατηγορίας, ἤλεγχε δὲ τοὺς διώκτας του διὰ τὰς κακάς των πράξεις[5]. «Πᾶσαν παρανομίαν διήλεγχον καὶ πάσῃ συνηγόρουν δικαιοσύνῃ»[6]. «Καὶ πολλάκις προὔλεγον ὅτι κἂν δέῃ με λιθοβοληθῆναι, τἀληθὲς οὐ σιγήσω»[7]! Οἱ ἀντίθετοι ἤθελον νὰ τὸν ἐκβάλουν τοῦ μέσου «ὅτι δύσχρηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ὀνειδίζει ἡμῖν παραπτώματα νόμου καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν»[8] διότι ἤλεγχε, φαίνεται, αὐτοὺς καὶ ὡς ἀγραμμάτους! «Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. *Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος*»[9]! Αἰτία ἦτο ἡ κακία καὶ ὁ φθόνος. «Κἀμὲ τὸ χαλεπὸν τοῦτο θηρίον *ὁ φθόνος τῆς Κρήτης* ἀπέωσε. Μᾶλλον δὲ τοὐναντίον ἅπαν εἴπερ συνέβη παράδοξον ἦν, φημὶ δὴ τὸ μὴ διωχθῆναι με πρὸς τοῦ φθόνου καὶ ταῦτα τὴν Κρήτην οἰκοῦντα»[10]! Οἱ μισοῦντες αὐτὸν ἦσαν ὀρθόδοξοι «παρ' ἐνίων δὲ ὁμοπίστων ὡς βδελυκτὸς μισοῦμαι καὶ ἀποτρόπαιος»[11]. Ἀλλ' ἐκεῖνος προετίμα καὶ ὑπέμενε τὸ μῖσος χάριν τοῦ Χριστοῦ. Ἠδύνατο βεβαίως νὰ συμβιβασθῇ πρὸς τοὺς διώκτας του «καὶ τὴν πίστιν μεταμεῖψαι ἢ συνευδοκεῖν τοῖς τὰ φαῦλα πράττουσιν ἀναιδῶς ἢ κἂν γοῦν σιγᾶν τἀληθῆ»[12]. Τότε δὲν θὰ ἐξεδιώκετο τῆς Κρήτης. Ἀλλὰ δὲν ἐθεώρει «ἄμοιρον μισθοῦ κἂν ἁπλῶς καὶ ἀκούσιον ἦν ἐμοὶ τὸ διωχθῆναι»[13]. Ὁ βίος του ἦτο θεάρεστος, μολονότι ὡς ἄνθρωπος ὁ Βρ. ἦτο ἁμαρτωλός[14].

[1] Παρ. 457.
[2] Παρ. 460.
[3] Παρ. 78 ἑξ.
[4] Παρ. 100 - 104.
[5] Παρ. 104 ἑξ.
[6] Παρ. 362 - 363.
[7] Παρ. 364.
[8] Παρ. 109 - 111.
[9] Παρ. 112 - 113.
[10] Παρ. 408 - 410.
[11] Παρ. 258 - 259.
[12] Παρ. 275 - 276.
[13] Παρ. 361 - 362.
[14] Παρ. 118.

«πράττων διετέλει τὰ τῷ Θεῷ καὶ τῇ ἐξουσίᾳ ἀρέσκοντα» [1]. Οἱ Κρῆτες «καὶ ζῆν με παρ᾽ ὑμῖν καὶ τιμᾶσθαι ἐβούλεσθε» [2]. Ἀλλ᾽ ὑπερίσχυσεν ὁ φθόνος καὶ ἐπηκολούθησεν ἡ ἐξορία. «Πλὴν οὐκ ἐξορίαν ὑπέστην μόνον ὥς τισιν ἔδοξεν, ἀλλὰ σὺν ταύτῃ καὶ ὕβρεις ἀπείρους καὶ *φρουρὰν* καὶ *ναυάγιον* καὶ πρὸς τούτοις ἑπτάμηνον κακουχίαν καὶ ἀπογύμνωσιν τῶν ἐμῶν καὶ θανάτους μυρίους» [3]. Ἐφυλακίσθη ἑπομένως, ἀπώλεσε τὴν περιουσίαν του, καὶ ἐπεβιβάσθη νύκτωρ πλοίου. «Κατ᾽ ἐκείνην τὴν νύκτα καθ᾽ ἣν τῆς νηὸς ἐπέβη ἀναγόμενος ἐκ τῆς Κρήτης» [4] παρεκάλεσε τὸν Θεὸν νὰ τῷ δώσῃ τὸν θάνατον, ἀλλ᾽ εἰς μάτην. Περὶ τοῦ ναυαγίου δὲν ἔχομεν πληροφορίαν πῶς ἀκριβῶς ἔτυχεν. Ὅτι ὅμως οἱ Ἑνετοὶ δὲν μετῆλθον προσωπικὴν βίαν, ἐκτὸς τοῦ περιορισμοῦ, κατὰ τοῦ μεγάλην ἐπιρροὴν ἐπὶ τοῦ λαοῦ ἀσκοῦντος Βρ., φαίνεται ἀπὸ τὸ ἴδιόν του παράπονον «αὐτὸς οὐδὲ ῥάπισμα ἢ ἔμπτυσμα ἓν ὑπὲρ αὐτοῦ (τοῦ Χριστοῦ) ὑπομείνας ἐπιδεῖξαι δυνήσομαι» [5]!

Ποία ὑπῆρξεν ἡ ἐντύπωσις ἐν Κρήτῃ ἐκ τῆς ἐξώσεως; «Ὅτι ἀδίκως τῶν τῆς Κρήτης καλῶν ἀπεστέρημαι, ἐλεοῦντές με *τῆς τοσαύτης ζημίας* οὐκ ἀπεικότως λυπεῖσθε» [6]. Καὶ περαιτέρω: «Οἶδα τοὺς ὀδυρμοὺς ὑμῶν, καὶ τοὺς ὀχετοὺς τῶν δακρύων οὕτως ἐπίσταμαι, ὡς ἂν εἰ συμπαρήμην ἑκάστῳ ὑμῶν. Ἀλλ᾽ ἄχρι τούτου, μὴ περαιτέρω. *Ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν μὴ ἐπ᾽ ἐμὲ κλαίετε»* [7]*!* Καὶ ἀλλαχοῦ «ὑμῶν μὲν ὑπερβαλλόντως τὸ πάθος τῆς λύπης ἁψάμενον οἰμωγῶν μέχρι καὶ δακρύων ἐχώρησε, λογιζομένων, πῶς *πάντων εὐπραγούντων* [8] μόνος δεινὰ πέπονθα» [9]. Ἡ παραγγελία εἶναι ῥητὴ «τοῖς τὰς συνεισάκτους ἔχουσι μὴ συγκοινωνῆτε» [10]. Τοῦτο ἤρκει διὰ νὰ τιμωρήσῃ ὁ Βρ. τοὺς ἐχθρούς του μακρόθεν. Ὡς πρὸς ἑαυτόν, πληροφορεῖ τοὺς Κρῆτας, ὅτι «ἀνέσει καὶ δόξῃ τὸν βίον παρέρχεται» [11]. Ἐκ τῆς ἐν τῇ μεγαλονήσῳ «ἀδιαφορίας εἰς τὸ *τῆς Θείας Σοφίας διδασκαλεῖον* ὑπέστρεψα. Ἀπὸ κοσμικῶν κυμάτων εἰς ὅρμον προσωρμίσθην γαλήνιον...» [12]. Ἡ πληροφορία αὕτη εἶναι σημαντική, ἀφοῦ γνωρίζομεν ὅτι τὰ διδακτικά του βιβλία, ἕνδεκα τὸν ἀριθ-

---

[1] Παρ. 128 - 129.
[2] Παρ. 516 - 517.
[3] Παρ. 417 - 419.
[4] Παρ. 498 - 499.
[5] Παρ. 497 - 498.
[6] Παρ. 439 - 440.
[7] Παρ. 466 - 469.
[8] Ὥστε τὴν ἔξωσιν ὑπέστη μόνον ὁ Βρ. χωρὶς νὰ ἐνοχληθοῦν οἱ ἐντόπιοι ὀρθόδοξοι.
[9] Παρ. 471 - 472.
[10] Παρ. 525 - 526.—Περὶ τοῦ ζητήματος τῶν συνεισάκτων ἐν Κρήτῃ, Τωμαδάκης, Ἔνθ᾽ ἀνωτ. σσ. 108 - 111, ὅπου αἱ λοιπαὶ ἐκ τῶν ἔργων τοῦ Βρ. μαρτυρίαι.
[11] Παρ. 492.
[12] Παρ. 432 - 434.

μόν, ἀφῆκεν εἰς τὴν Ἁγίαν Σοφίαν διὰ τῆς διαθήκης του [1]. Καὶ περαιτέρω λέγει, ὅτι προτιμᾷ «ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ πολυτρόπως δοξάζεσθαι· σοφοῖς συνοικεῖν διὰ βίου ἢ ἀγρόταις διόλου συνομιλεῖν» [2]. Καὶ ἐρωτᾷ «τὸ τῆς πόλεως (Κων/λεως) εἰς ἔρημον (Κρήτην) ἐξορίζεσθαι βέλτιον ἢ τοὐναντίον; ἐκ τῶν νήσων εἰς τὴν ἤπειρον ἢ ἐντεῦθεν ἐκεῖσε; Ὅπου τις ἐκ πολλοῦ διψᾷ καὶ προσμένειν ἐφίεται καὶ ἀπαναίνεται;» [3].

Τὸ ἕτερον τῶν γραπτῶν τοῦ Βρ. «Ἐρώτησις τῶν ἀπὸ Κρήτης τινῶν ἱερέων περὶ τοῦ παντὸς παρελεύσεως» δεικνύει ὅτι ἀνέκυπτον ἐν τῇ μεγαλονήσῳ καὶ ζητήματα τοιαῦτα, ἀπαιτοῦντα λύσιν. Ὁ Βρ. δὲν προβάλλει ἴδια ἐπιχειρήματα, ἀλλ᾽ ὡς συνήθως πράττουν οἱ θεολόγοι τῆς ἐποχῆς του, προβάλλει τὴν αὐθεντείαν τῶν Πατέρων τῆς Ἐκκλησίας [4].

ΝΙΚΟΛΑΟΣ Β. ΤΩΜΑΔΑΚΗΣ

---

[1] Ἀθ. Παπαδ. Κεραμέως: Varia Græca Sacra, Πετρούπολις 1909, σσ. 295 - 296. Τωμαδάκης, Ἔνθ᾽ ἀνωτ. σ. 33. Περὶ τοῦ Βρ. ὡς διδασκάλου ὅρα καὶ ὅσα ἐσημείωσεν ὁ V. Laurent εἰς τὴν Εἰσαγωγὴν τοῦ P. Tannery, Quadrivium de Georges Pachymére, Rome 1940 (Studi e Testi 94) σσ. XVII - XXIV.
[2] Παρ. 460.
[3] Παρ. 452 - 454.
[4] Περὶ τοῦ Βρ. ὡς θεολόγου γίνεται πολλαχοῦ λόγος εἰς τὸ βιβλίον P. Hildebrand Beck O.S.B., Vorschung und Vorherbestimmung in theologischen Literatur der byzantiner, Roma 1928 (Or. Chr. Analecta 144), ἰδίᾳ ἐν σσ. 129 - 131 κ.ἀ.

Codex Patmiacus ΥΜ' (1421 p.Chr.).

ΙΩΣΗΦ ΒΡΥΕΝΝΙΟΥ

355α ***Ἐρώτησις τῶν ἀπὸ Κρήτης τινῶν ἱερέων περὶ τοῦ παντὸς παρελεύσεως.***

Ἀξιῶ σε, πάτερ, εἰπέ μοι· ἐν τῇ συντελείᾳ τῶν αἰώνων μετὰ τὴν κοινὴν τῶν ἀνθρώπων ἀνάστασιν καὶ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, πᾶσα ἡ κτίσις αὕτη ἡ ὁρωμένη ἔσται πάλιν ἢ καθάπαξ οἰχήσεται; σἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων, ὡς οὐδὲ σὲ τοῦτσ λέληθεν, ἵνα μὴ πάντες εἴπω, ἀπολέσθαι πᾶσαν ἐλπίζουσι· ἤγουν πάντα τὸν οὐρανὸν σὺν πάσῃ τῇ γῇ ἀφανισμῷ τελείῳ παραδοθῆναι. Ἔχουσί τε συνηγόρους πρὸς τοῦτο πολλοὺς μὲν καὶ ἄλλους, μάλιστα δὲ τὸν προφήτην Δαυῒδ λέγοντα «κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολσῦνται...». Καὶ αὐτὸν τὸν Σωτῆρα Χριστὸν ἀποφηνάμενον, ὅτι «ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐ-
355β *τῆς | καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ» καὶ «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται οἱ δὲ λόγοι μσυ οὐ μὴ παρέλθωσιν». Ἐκεῖνοι μὲν οὕτω δοξάζουσιν ἐντεῦθεν, ἢ οὐκ σἶδ' ὅθεν, κινούμενοι· Σοὶ δὲ τί πρὸς ταῦτα δοκεῖ; Μᾶλλον δὲ τίς ἐστιν ἡ ἐν τούτσις ἀλήθεια; Δίδαξόν με μαθεῖν ἐπειγόμενσν.*

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο ζήτημά ἐστιν ἓν τῶν μεγάλων, ἀγαπητέ. Διὰ τοῦτο καὶ γὰρ ἡ πέμπτη τῶν οἰκουμενικῶν συγκεκρότηται σύνοδος καὶ πάντας τοὺς τὰ αὐτὰ φρονοῦντας ἐκείνῳ ἀνεθεμάτισε. Τοῦτο περιλήρημα Ὠριγένους ἐστὶ τοῦ ἀδαμαντίνου, ὃς ἐφλυάρει προΰπαρξιν καὶ ἀποκατάστασιν, ὃν ἡ ῥηθεῖσα σύνοδος ἀνεθεμάτισε λέγοντα ὅτι ἐν τῇ συντελείᾳ τῶν αἰώνων πᾶσα ἡ κτίσις
356α *ἀναλύσει | εἰς τὸ μὴ ὂν καὶ ὥσπερ ἄρα ὑπῆρχε πρὸ τοῦ γενέσθαι ἐν τῷ Θεῷ, οὕτω πάλιν ἀποκαταστήσεται ἐν αὐτῷ τῷ Θεῷ καὶ μόνος μενεῖ Θεός, τὰ δὲ πάντα οἰχήσεται. ἀλλὰ ταῦτα μὲν αἱρετικῶν εἰσιν ἔμετσι καὶ ναυτίαι. Τῇ δὲ τῶν ὀρθσδόξων Ἐκκλησίᾳ τοὐναντίον ἅπαν δοκεῖ. Ὅτι γέγονε μὲν ἐκ τοῦ μὴ ὄντος ἅπαντα εἰς τὸ εἶναι διὰ τὸν ἄνθρωπσν· διὰ δὲ τοῦ ἀνθρώπου*

---

8 *Ps. 101,26-27.* 11 *Math. 24,29.* 12 *Math. 24,35.*

---

21 λέγοντας cod.

παράβασιν ὑπόκεινται πάντα φθορᾷ, ἀλλὰ φθορᾷ προσκαίρῳ, οὐκ ἀπωλείᾳ οὐδ' ἀφανισμῷ παντελεῖ. Ἀλλαγήσεται γὰρ πάντα, τουτέστιν ἀλλοιωθήσεται ἀπὸ τοῦ εἶναι φθαρτὰ καὶ τρεπτὰ εἰς τὸ εἶναι ἄφθαρτα, ἄτρεπτα καὶ ἀνάλωτα, ὥσπερ ἄρα καὶ ὁ δι' ὃν ταῦτα συνέστη, ὁ ἄνθρωπος. Καὶ τοῦτο καὶ οἱ
356β *τῆς Παλαιᾶς προφῆται καὶ οἱ τῆς Νέας | Διαθήκης διδάσκαλοι σαφῶς διδάσκουσι. Ὁ μὲν γὰρ τῶν πρσφητῶν φησιν «ἔσται ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή». Ὁ δὲ «ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα» τουτέστι κατὰ τοῦτον ῥέοντα καὶ φθειρόμενσν «καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» ἤτοι κατὰ τὸν μέλλοντα ἐκεῖνον καὶ ἀδιάῤῥευστον. Εἶτα τὸ ἀμετάπτωτον εἶναι τὴν τούτων στάσιν δεικνύς, ἐπάγει «πρόσταγμα ἔθετο καὶ σὐ παρελεύσεται». Καὶ ταῦτα μὲν οἱ προφῆται.*

Ταὐτὰ δὲ τούτοις οἱ τῆς Ἐκκλησίαις φωστῆρες δοξάζουσι. Τούτων γὰρ ὁ μὲν Χρυσόστομος Ἰωάννης ἐν ὁμιλίᾳ πεντεκαιδεκάτῃ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, ἐξηγούμενος τὸ τοῦ μακαρίου Παύλου ῥητὸν τὸ λέγον «Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα ἀλλὰ διὰ τὸν ὑποτάξαντα
357α *ἐπ' ἐλπίδι· ὅτι καὶ αὐτὴ | ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ». Τοῦτο γοῦν ἐξηγούμενος, οὕτω φησί· «τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη ἀντὶ τοῦ φθαρτὴ γέγονε· τίνος ἕνεκεν καὶ διατί; διὰ σὲ τὸν ἄνθρωπον· ὅτι δὲ καὶ ὁ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος, πρὸς τὴν ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ προφήτου λέγοντος· «κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται». καὶ Ἡσαΐας τὰ αὐτὰ ἐμφαίνων ἔλεγεν· «ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω καὶ εἰς τὴν γῆν κάτω»· «ὅτι ὁ οὐρανὸς ὡς καπνὸς*
357β *ἐστερεώθη ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται | οἱ δὲ κατοικοῦντές αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦνται». Εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτίσις καὶ πῶς ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς; Ὁ μὲν γάρ φησιν «ὡς ἱμάτιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται»· ὁ δέ, «οἱ κατοικοῦντες αὐτὴν ὡς ταῦτα ἀπολοῦνται», οὐ παντελῆ λέγων ἀπώλειαν, οὐδὲ γὰρ οἱ κατοικσῦντες αὐτήν, τουτέστιν οἱ ἄνθρωποι, τοιαύτην ὑποστήσονται, ἀλλὰ τὴν πρόσκαιρον καὶ δι'*

---

32 *Is. 65,17.* 33 *Ps. 148,6.* 36 *Ps. 148,6.* 41 *Rom. 20-21.* 47 *Ps. 102,25-27 (=He. 1,10-12).* 50 *Is. 8,21-22.* 51 *Is. 51,6* 54 *Ps. 102.* 55 *Is. 51,6.*

---

27 ἀπώλεια cod. 32 ἔστιν ὁ cod. 35-36 δεικὺς cod. 53 ἐδήλωσε cod.

αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται. Ὥσπερ οὖν καὶ ἡ κτίσις· ἅπερ ἅπαντα τὰ διὰ τοῦ εἰπεῖν, ὡς ταῦτα παρεδήλωσε· ὅπερ οὖν καὶ ὁ Παῦλος λέγει σαφῶς «τί λέγεις» φησὶν «κακῶς ἔπαθε διὰ σὲ καὶ φθαρτὴ γέγονεν ἡ κτίσις; ἀλλ' οὐδὲν ἠδίκηται· καὶ γὰρ ἄφθαρτός ἐστι διὰ σὲ πάλιν». Τοῦτο γάρ ἐστι τὸ ἐπ' ἐλπίδι.

— Εἰπὲ δὴ ποίᾳ ἐλπίδι.

358α — Ὅτι καὶ | αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται.

— Τί ἐστι «καὶ αὐτή».

— Οὐχὶ σὺ μόνος· ἀλλὰ καὶ ὅσα ἐστι καταδεέστερα καὶ οὐ μετέχει λογισμοῦ οὐδὲ αἰσθήσεως καὶ ταῦτα σοι κοινωνήσει τῶν ἀγαθῶν· ἐλευθερωθήσεται γάρ φησιν ἀπὸ τῆς δουλείας τῆς φθορᾶς τουτέστι οὐκ ἔτι ἔσται φθαρτή. ἀλλ' ἀκολουθήσει τῇ τοῦ σώματος εὐμορφίᾳ τοῦ σοῦ· ὥσπερ γὰρ γενομένου φθαρτοῦ γέγονε καὶ ἐκείνη τοιαύτη, οὕτως ἀφθάρτου καταστάντος, καὶ αὐτὴ ἕψεται πάλιν· ὅπερ οὖν καὶ δεικνὺς ἐπήγαγεν εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ τουτέστι διὰ τὴν ἐλευθερίαν. Καθάπερ γὰρ τιθηνὸς παιδίον τρέφουσα βασιλικὸν ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς πατρικῆς καὶ αὐτὴ συναπολαύσει τῶν ἀγαθῶν, οὕτω καὶ ἡ κτίσις φησί, οὕτω
358β | καὶ πατέρες ποιοῦσι τοῦ υἱοῦ μέλλοντος ἐπὶ ἀξιώμασι φαίνεσθαι καὶ τοὺς δούλους λαμπροτέραν ἐνδύουσι στολὴν εἰς τὴν τοῦ παιδὸς : δόξαν ὥσπερ οὖν καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίαν περιβαλεῖ εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων».

Καὶ ταῦτα μὲν κατὰ λέξιν οὕτω διηγεῖται ὁ τὴν γλῶτταν χρυσοῦς· ὁ δὲ Θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ «Χθὲς τῇ λαμπρᾷ τῶν Φώτων», ἐν λόγῳ δευτέρῳ τῆς νέας δεκαλόγου, παντὶ παραινεῖ ὀρθοδόξῳ οὕτω πιστεύειν. Λέγει· «πίστευε τὸν σύμπαντα κόσμον, ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενον καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, δέξεσθαι τὴν εἰς τὸ κρεῖττον μεταβολήν». Ὅ τε Νύσσης ὡσαύτως συν-
359α ώνυμος. Τούτου ἐν τῇ «εἰς τοὺς ψαλμοὺς | ἐξηγήσει» λέγει πρὸς τὸν Θεόν· «Σὺ μόνος, ὦ Δέσποτα, τὸ ἀΐδιον ἔχεις, ἅτε Θεὸς ὤν· οἱ δὲ οὐρανοὶ εἰ καὶ μέγα τι καὶ ἐξαίρετον ὑπάρχουσι κτίσμα, ἀλλ' ὅμως καὶ αὐτοὶ ὑποβληθήσονται φθορᾷ, ἡ δὲ φθορὰ αὕτη γενήσεται αὐτοῖς εἰς ἀνακαινισμόν· ἑλιχθήσονται γὰρ εἰς βέλτιον σχῆμα μεταβαλλόμενοι· εἰ δέ τις προβάληται τὸ ὁ ἥλιος σκοτισθήσεται καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οὐκ αὐτὸν ἐκεῖνον, ὁποῖος ἂν εἴη, δεξόμεθα ἐξηγητήν, ἀλλὰ τοὺς τῆς Ἐκκλησίας εἰσηγητάς. Τί οὖν φασιν ἐξηγούμενοι ταῦτα οἱ θεῖοι ἐξηγηταί, πρόσχες· ὁ ἥλιος σκοτισθήσεται οὐκ ἀφανιζόμενος ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας

59 *διὰ τοῦ εἰπεῖν ὡς ταῦτα πα* in marg. inf. 60 *γέγονε* cod. 66 *καταδιέστερον* cod. 73 *τρέφων* cod. 76 *ἐνδύῃ* cod.

359β αὐτοῦ καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ | παρέλθωσι, τουτέστι τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα εὐκολώτερον ἀφανισθῆναι ἢ τῶν λόγων τῶν ἐμῶν τι διαπεσεῖν»· ἀκούεις;

Ὥστε οὕτω χρὴ νοεῖν τὰς γραφὰς καὶ ταύτας πιστεύειν ὡς οἱ διδάσκαλοι βούλονται, οὐχὶ δὲ στοιχεῖν τῇ ἰδίᾳ συνέσει καὶ περισύρεσθαι ταῖς ἐνίων ἀπάταις καὶ ματαιότησιν. Ἀμετάπτωτος γὰρ ἡ θεία βουλὴ καὶ ὁ θεῖος προορισμὸς ἀπαράτρεπτος.

232α **Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς [Κρῆτας] παραμυθητικός.**

Τοῖς ἐν Κρήτῃ ἐν Θεῷ πατρὶ ἠγαπημένοις μοι καὶ ἐν Κυρίῳ Ἰησοῦ φίλοις καὶ ἐν ἁγίῳ πνεύματι ἀδελφοῖς, Ἰωσὴφ μοναχὸς ὁ Βρυέννιος σωτηρίαν, ἣν ἡ παναιτία τριὰς τοῖς ταύτῃ γε πειθαρχοῦσι δωρεῖται.

Ὑγιαίνω ὑμῖν καὶ αὐτὸς καὶ διάγω, τοῦ Θεοῦ χορηγοῦντος, ὡς ἂν αὐτοὶ εὔξοισθε. Τὸ γὰρ τῶν τοῦ παρόντος βίου κινδύνων ἀπαλλαγέντα ζῆν ἐν λόγοις καὶ πρὸ τῶν λόγων τῷ τοῦ Θεοῦ ζῶντι Λόγῳ διὰ τῆς ἐκείνου ἑνοῦσθαι χάριτος, νῦν μὲν ἐκείνῳ διαλεγόμενον, νῦν δὲ ὑπὲρ αὐτοῦ τοῖς ἄλλοις, εὐδαίμονά μοι καθίστησι τὸν βίον καὶ πάσης μεστὸν εὐφροσύνης· δι' ὃ μέντοι γινώσκω ἐπὶ τῇ ἐμῇ ἀναχωρήσει λυπουμένους ὑμᾶς καὶ ἀσχάλλοντας.
233α Ἀδελφικῶς καὶ φιλαλήθως λοιπὸν δεῖν ᾠήθην περὶ τῶν συμβάντων | ὡς ἐν τύπῳ τινὰ ὑμῖν διελθεῖν, οἷς δήπου προσσχόντες τὸν νοῦν καὶ παρακληθέντες, τὸ πολὺ τῆς ἀθυμίας ἀπόθεσθε· ἐπεὶ καὶ αὐτὸς ἐν τούτοις ἐπιεικῶς χαίρω ὡς κατὰ χρέος. Τοῦτο γὰρ θέλημα Θεοῦ πάντα χριστιανὸν ὑπὲρ τοῦ καλοῦ πάσχοντα χαίρειν οὐ μὴν λυπεῖσθαι, καὶ ὑπερεύχεσθαι τοῖς ἐπηρεάζουσιν, οὐκ ἐπαρᾶσθαί τινι, εἰ μέλλει μὴ πάντῃ τῆς σωτηρίας διαμαρτεῖν. Ἐγὼ δὲ εἰ καὶ δεινὰ πέπονθα, καὶ ἃ οὐδεὶς προσεδόκησεν ἴσως καὶ τῶν πραττομένων μοι τῆς ἀντιμισθίας, ἐκ διαμέτρου ἀλλὰ καὶ πρὸ τοῦ καὶ μετέπειτα, σφόδρα πεπληροφόρημαι ὡς πάντες ἀνέκαθεν οἱ τοῦτ' ἔργον τιθέμενοι, τὸ πολλοὺς ὠφελεῖν, πειρασμοῖς περιέπεσον καὶ ὡς ἀεὶ φορτικοὶ τοῖς μὲν ἀνοήτοις οἱ σώφρονες, τοῖς δ' ἁμαρτωλοῖς οἱ σπουδαῖοι καὶ τοῖς στρεβλοῖς οἱ ὀρθοί.
233β Ταύτῃ τοι καὶ τῶν γε|νομένων εἰς πάντας, ὡς πέφυκε, προϊόντων καὶ ἐπ' ἐμέ, ζηλοῦντά πως ἐκείνους. Οὐ χρὴ ἐν τούτῳ ταράττεσθαι τοὺς ἐχέφρονας. Ὡς γὰρ αἰσχρόν ἐστι τῷ ἀθλητῇ ξενίζεσθαι εἰ ἀνθίσταται ὁ ἀντίπαλος, τῷ ἰατρῷ εἰ πεπύρεχεν οὗτος, καὶ τῷ κυβερνήτῃ εἰ ἀντίπνοια γέγο-

10 *ἐπὶ τῇ ἐμ(ῇ ἀναχωρήσει)* supplevi, codice corrupto. 20 - 21 *φορ(τικοί, οἱ σώφρονες)* supplevi.

*νεν, οὕτω καὶ τῷ χριστιανῷ εἰ πειρασμὸς ἐπέλθοι θαυμάζειν ἀδιανόητον.
Οὐκ ἔστι γὰρ ὅτε οὐ παρυφεστήκασι τοῖς ἀγαθοῖς οἱ πονηροί, καὶ ὡς ἐναν-
τίοις αὐτοῖς ἀντιμάχονται. Εἶτα, ὁ μὲν Θεὸς ἀθάνατος ὢν οὐ δυσχεραίνει
ἐν τοσούτοις αἰῶσι τοσούτων καὶ τοιούτων κακοποιῶν ἀνεχόμενος· προσέτι
δὲ καὶ προνοεῖται τούτων παντοίως· ἡμεῖς δ' ὅσον οὔπω τελευτᾶν μέλλοντες
ἀπαγορεύσομεν ἤδη καὶ πρὸς τρεῖς ἢ καὶ δέκα τοιούτους δυσχερανοῦμεν;
καὶ ταῦτα τῶν αὐτῶν ἐν πολλοῖς οὐ δεύτεροι; οὐδαμῶς, ἀλλὰ τὰς μὲν ἐκεί-*
234α *νων | ὕβρεις ἐπαίνοις συχνοῖς, τὰς δέ γε κατάρας ἀμειψόμεθα ταῖς πρὸς τὸ
θεῖον εὐχαῖς. Εἰ γὰρ καὶ ἀχαριστίᾳ τὰς εὐεργεσίας ἠμείψαντο, τῆς μὴ
ἀποδοῦναι «κακὸν ἀντὶ κακοῦ» ἐντολῆς καὶ πρὸ ταύτης τῆς «εὔχεσθαι ὑπὲρ
τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων» καλὸν κἀνταῦθα μνησθῆναι. Τί δὲ
καὶ ξένον γέγονεν εἰ φαῦλοι πεπράχασι τὰ τῶν φίλων ἡμεῖς οὐδὲν πλέον
ὀφείλομεν καὶ σπεύδομεν τῆς πρὸς ὁμογενεῖς ἀνθρώπους εὐεργεσίας· καὶ
τοῦτο οὐ δι' ἀντάμειψιν ἀλλὰ χάριτι μόνῃ, μᾶλλον δὲ ὀφειλῇ. Καὶ γὰρ
οὐδ' ὀφθαλμὸς τοῖς ποσὶν ἀμοιβὴν ἀπαιτεῖ, ὅτι βλέπει· οὐδ' οἱ πόδες τούτῳ,
ὅτι βαδίζουσιν· οὐδ' ὅγε λύχνος τισίν, ὡς οἴκοθεν τὴν οἰκίαν ἅπασαν ἐπι-*
234β *λάμπων· τῷ πρὸς ὃ δὲ πέφυκεν ἔργῳ ἕκαστον τούτων ἀρκεῖται καὶ μόνῳ. | Εἰ
δὲ χρή τι ἐρεῖν καὶ σαφέστερον εὐχαριστεῖν δεῖ καὶ μικροῦ χάριτας ὁμολο-
γεῖν τοῖς ἐπηρεάζουσιν. Ἐπεί περ οὗτοί εἰσιν οἱ τοὺς μισθοὺς προξενοῦντες
τοῖς ὑπομένουσιν, ὡς λέγει ὁ ἅγιος Ζωσιμᾶς «τίς προεξένησε τοῖς ἁγίοις
μάρτυσι τοὺς στεφάνους εἰ μὴ οἱ ἐτάσαντες αὐτούς;» ἄλλως τε δεῖ τὸν νου-
νεχῆ μὴ ἄνεσιν ἀλλὰ πειρασμὸν προσδοκᾶν καὶ ἐτάζεσθαι πρὸς εὐχάριστον
ὑπομονὴν ἀνδρικώτατα. Ὥς φησί τις τῶν ἁγίων «ἔξεστι παντὶ χριστιανῷ τῷ
ὀρθῶς πιστεύοντι εἰς Θεὸν μὴ ἀμεριμνεῖν ἀλλὰ πάντοτε προσδοκᾶν καὶ ἐκδέ-
χεσθαι πειρασμόν, ἵνα, ὅταν ἔλθῃ, μὴ ξενίζηται μηδὲ ταράττηται, ἀλλ' εὐχα-
ρίστως ὑπομένῃ τὸν κόπον θλίψεως καὶ εὐλογῇ ψάλλων σὺν τῷ προφήτῃ
λέγοντι «δοκίμασόν με καὶ πείρασόν με»· καὶ πάλιν ὅτι «ἡ παιδεία σου κατέ-*
235α *στρεψέ με, ἀλλ' ἀνώρθωσέ με εἰς τέλος». Καὶ ὁ Χρυσόστομος «ἐνταῦθα μὲν
θλῖψιν ἕξετε, εἶπε, ἐκεῖ δὲ ἄνεσιν. Τί συγχέομεν τοὺς καιρούς; τί τὰ ἄνω
κάτω ποιοῦμεν; ἀγών ἐστιν ὁ παρὼν καιρός· οὐκοῦν τοῦ πιστεύειν χρεία.
Πόλεμός ἐστι καὶ μάχη· οὐδεὶς ἐν πολέμῳ ζητεῖ ἄνεσιν, οὐδείς. Κυβερνήτην
μὲν γὰρ ὁ χειμών· καὶ ἀθλητὴν τὸ στάδιον· τὸν στρατηγὸν ἡ παράταξις· τὸν
μεγαλόψυχον ἡ συμφορά· τὸν δὲ χριστιανὸν πειρασμὸς δοκιμάζει· καὶ αἱ*

---

35 *I Th.* 5,15. 35 *Math.* 5,44. 52 *Ps.* 25,2. 52 *Ps.* 17,36.

---

51 *ὑπομένειν* cod. correxi *εὐ(λογῇ)* supplevi. 52 *λέγει* cod. correxi. *καὶ (πάλιν)* supplevi. 54 *θλῖψιν εἶπε* cod. 55 *ποιῶμεν* cod.

*θλίψεις τὴν ψυχὴν ὡς ἐν καμίνῳ χρυσὸν ἀπελέγχουσι». Καὶ ταῦτα μὲν οἱ
ἅγιοι.*

*Ὑμεῖς δὲ πῶς ἐν οὕτως ὀλίγῳ χρόνῳ τῶν πολλάκις ῥηθέντων ὑμῖν
παρ' ἐμοῦ ἐπελάθεσθε; οὐ μέμνησθε ἐν ταῖς τῶν πολλῶν ἐξομολογήσεσι καὶ
ἐν πολλαῖς ὁμιλίαις, ὡς ἔλεγον παῤῥησίᾳ, ὅτι «μέγαν φθόνον τρέφουσιν οἱ*
235β *δαίμονες εἰς ἐ|μέ; ὁρῶντες γὰρ τοὺς ὅσους εἶχόν ποτε πεπλανημένους ἐκεῖ-
νοι νῦν ἐπιστρέφοντας ἐπὶ τὸν Θεόν, μυρία τεχνάσονται κατ' ἐμοῦ. Καὶ ἴστε·
οὔτε προφήτης εἰμί, οὔτε προφήτου υἱός. Τὸ μέντοι ἐν τούτῳ μέλλον ἐπί-
σταμαι· ὅτι ἢ αἰσχύνην δι' ἐπηρείας, ἢ ἐξορίαν, ἢ θάνατον ποτέ μοι σκαιω-
ρήσουσιν ἄδικον· ἀλλ' οὐ δέδοικα διὰ ταῦτα· οὐδὲ σιγήσω τὰ δέοντα. Χρι-
στός ἐστι μετ' ἐμοῦ, τί ποιήσει μοι ἄνθρωπος; Ἅπαν δεινὸν εἰ ἐπέλθοι,
ὑπὲρ τῆς ἀληθείας ὑπομενῶ καὶ μακαρισμοῦ γενήσομαι ἄξιος. Μόνον ὑμεῖς
ἐργάζεσθε τὸ καλόν». Οὐ ταῦτ' ἔλεγον μεγάλῃ φωνῇ καὶ τὰ τούτων ὡς
εἰκὸς παραπλήσια; Καὶ πῶς λοιπὸν ἀποβάντων εἰς ἔργα τῶν λόγων μου ὡς
μὴ ἀκούσαντες οὕτω διάκεισθε; Πάντως καθ' ἃ προὔλεγον ἀπέβη τὰ κατ'*
236α *ἐμέ· δι' ὃ γὰρ ἐβουλόμην εἰς τὸ ἑξῆς βελτίω καὶ τελειότερα τῶν | προῤῥη-
θέντων ἡμῖν ἐκτίθεσθαι πρὸς τῇ τοῦ τῶν πάντων ὠφελείᾳ ἐπιβουλεύοντος
ἐνεποδίσθην λοιπόν. Πλὴν εὐχαριστῶ τῷ Χριστῷ μου ὅτι οὐκ ἔν τινι πράξει
διεβλήθην ἀτόπῳ ἀλλ' ἐπὶ λόγοις μόνον γυμνοῖς καὶ τούτοις ἀμαρτυρήτοις
καὶ πεπλασμένοις· καὶ ὅρα περίεργον καὶ δεινὴν σκαιωρίαν. Ὡς γὰρ ἐπ'
αἰσχρουργίᾳ πολλὰ κατειπεῖν δοκιμάσαντες λαβὴν ἐκεῖθεν οὐκ ἔσχον τοῖς
δικασταῖς παρασχεῖν οἱ κατήγοροι ἀποτυχόντες τῆς φανερᾶς καὶ δοκούσης
ὀλίγα βλάπτειν αἰτίας, ἐπὶ τὸ ἀφανὲς καὶ ἀρχῆς ἁπτόμενον ἔγκλημα καταφεύ-
γουσιν. Ἠκούσαμεν, λέγοντες, λόγους ἀχρείους εἰπόντος ἐκείνου, καὶ τὸ δει-
νότερον, ἑστωσάν φασι καὶ οἱ κατήγοροι ἄδηλοι καὶ τὸ ἔγκλημα ἀφανὲς καὶ ἡ
κρίσις ἐρήμη καὶ ἄλλο μὲν τὸ ἀκουόμενον, ἄλλο δὲ τὸ γραφόμενον· ὡς ἂν*
236β *οὐκ αὐτὸ ὅπερ ἦν μικρὸν καὶ οὐδέν, ἀλλὰ | μέγα τι καὶ τῶν ἀσυγγνώστων τὸ
πρώτιστον τοῖς τοῦτο ἀκούουσιν ἡ φήμη παρέχεται. Ἔθος γὰρ τῷ κοινῷ τοῦ
γένους ἐχθρῷ τοιαύταις φήμαις τοὺς ἐραστὰς τῶν καλῶν περιβάλλειν, ἵνα
τῶν μιμουμένων τούτους ἐπ' ἀρετῇ καὶ μελλόντων ἕπεσθαι τούτοις, τὸ πρό-
θυμον διακόψῃ, εἰς ἀπιστίας αὐτοὺς ἐμβαλών. Τοῦτο δὲ προὐβάλοντο οὐχ
ὡς ἄν τις φαίη ἀπερισκέπτως, ἀλλ' εἰ μὲν ἐπιτύχωσι τοῦ βουλεύματος
θανάτῳ ἢ ἐξορίᾳ παραπεμφθῆναί με· εἰ δ' ἀστοχήσωσι τοῦ σκοποῦ καὶ οὕτω
Κρήτην ἅπασαν καὶ Ἀκυληΐαν κινῆσαι κατ' ἐμοῦ μηκέτι πιστὸν ἀλλὰ δόλιον
ὑποπτεύειν με καὶ πάντας λοιπὸν ἑνὶ τεχνάσματι ἀποστῆναί μου ἅμα, τοὺς
μὲν τῶν κρατούντων φόβῳ διειργομένους, τοὺς δὲ τὰς ψυχὰς τοῖς προεκτε-*
237α *θεῖσι κατασεισθέντας καὶ αἰδουμένους τοῦ λοιποῦ κἂν ὀφθῆναί μοι· | ὡς δ'*

---

79 *λαβεῖν* cod. 90 *ἀποτύχωσι* cod. 92 *ἀκυλίαν* cod. 94 *κρατούντων* supplevi. *διειργομέν(ους)* supplevi.

ὑποτρέσαντά με τῇ αἰδοῖ καὶ τῷ δέει ἐντεῦθεν ὑποχωρῆσαι καὶ ἄκοντα. Καὶ ταῦτα οὐχ ἅπαξ καὶ δὶς συνέῤῥαψαν μόνον. Ἀλλὰ πρὸ δέκα ἐνιαυτῶν ἄχρι τῆς δεῦρο οὐκ ἐπαύσαντο προδιδόντες με καὶ κατηγοροῦντες σὺν ἄλλοις μυρίοις, αὐτὰ δὴ ταῦτα ἅπερ καὶ νῦν κατεψεύσαντο. Καὶ μαρτυρεῖ μου τῷ λόγῳ Κρήτη πᾶσα σχεδὸν καὶ οἱ ταύτης ἄρξαντες ἔκτοτε. Ἢ δοκεῖτε ὅτι νῦν με ὕβρισαν πρῶτον ἢ διέβαλον ἢ ἐπεβούλευσαν τῇ ζωῇ μου; Ὢ πόσας συνόδους, συνόδους κατ' ἐμοῦ κροτηθείσας εἶδον ἐγώ! πόσας ἐνέδρας θανατηφόρους, πόσα πραχθέντα συμβούλια· ἅπερ τῆς τῶν πολλῶν εἰρήνης φροντίζων, σιγῇ μόνον ἔφερον ὡς μηδενὸς καινοῦ γιγνομένου· καὶ γὰρ οὐκ ἐπαυ-
237β *σάμην εὐκαίρως, ἀκαίρως ἐπιτι|μῶν αὐτούς, ἐλέγχων, παρακαλῶν ἐπὶ τὰ καλά. Ὠδίνησαν ἀδικίαν λοιπὸν κατ' ἐμοῦ· συνέλαβον πόνον καὶ ἔτεκον ἀνομίαν καὶ δεῦτε, εἶπον, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν κύριός ἐστιν. Ἄρωμεν αὐτοῦ τὴν μνήμην ἀπὸ τῆς γῆς, ὅτι δύσχρηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ὀνειδίζει ἡμῖν παραπτώματα νόμου καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος.*

Καὶ ταῖτα μὲν ἐκεῖνοι κατ' ἐμοῦ ἐβουλεύσαντο, ὡς καὶ τὸ τέλος ἀπέδειξεν· ἀπετύφλωσε γὰρ ὄντως αὐτοὺς ἡ κακία. Εἰς οὐδὲν δὲ ὧν κατηγόρησάν μου, Κύριος οἶδεν, ἔνοχος πέφυκα, ἀλλ' ἀπὸ πάντων, ὡς ἐμαυτῷ σύνοιδα, |
238α *καθαρὸς καὶ τοσοῦτον, ὅτι οὐδὲ συγκαταθέσθαί ποτε μέμνημαι τούτοις τὸν νοῦν μή τι γε ἀποτρόπαιόν τι τολμῆσαι τὸ σύνολον. Καὶ ταῦτα λέγω οὐ τοῦ χοροῦ τῶν ἁμαρτωλῶν ἐμαυτὸν ὑπεξαιρῶν, ὧν πρῶτός εἰμι, ἀλλὰ μυρίοις μὲν καὶ μεγίστοις ἁλῶναι κακοῖς, ὡς οὐδεὶς ἄλλος, καὶ πάνυ ὁμολογῶ, τούτου δὲ πάντῃ εἶναι ἀνεύθυνος. Εἰ δὲ ψεύδομαι τοῖς λόγοις ἢ ἄλλως παραλογίζομαι τἀληθὲς εἴτι τοιοῦτον πρᾶξαι ἠθέλησα, ἐξαλειφθείην ἐκ βίβλου τῶν σῳζομένων καὶ τοῖς ἀπολλυμένοις τοῦ λοιποῦ συντατοίμην, ὦ γῆ, καὶ ἥλιε, καὶ θεία δίκη· οὕτω καὶ γὰρ ἄντικρυς τῶν κατηγορηθέντων ἀπέχω. ὅτι καὶ καρδίᾳ καὶ λόγοις καὶ πράγμασιν εἴ τι τῷ κοινῷ συντελοῦν, εἴ τι*
238β *συμφέρον καὶ τίμιον καὶ σωτηριῶδες, ἐσπούδαζον ἀεὶ | ἐν τῷ φανερῷ καὶ ἐφ' ὑμῖν μάρτυσι πείθεσθαι τῇ ἀρχῇ ἐν παντὶ ἀγαθῷ, κοινῇ καὶ ἰδίᾳ, συνεβούλευον ἅπασι. Καὶ ὥσπερ τις ὀφειλέτης ἢ δοῦλος ἐπ' αὐτὸ τοῦτο κείμενος καθ' ὃ καὶ ἐχρῆν, οὕτω καὶ λέγων καὶ πράττων διετέλουν τὰ τῷ Θεῷ καὶ τῇ ἐξουσίᾳ ἀρέσκοντα. Καὶ ἵνα πάντα τἀμὰ τοῖς πᾶσιν ᾖ πρόδηλα, τῆς πόλεως ᾤκουν αὐτὸ τὸ μεσαίτατον. Ἴσασι καὶ αὐτοὶ οἱ φωραθέντες κατήγοροι τὴν ἐμὴν ἀναστροφὴν ὡς θεάρεστος· εἰ καὶ τυφλὸν ὁ φθόνος καὶ τὸ συμφέρον ὅλως οὐκ οἶδε προτιμᾶν. Ἀλλὰ καίπερ οὕτως ζῶν παρ' ὑμῖν καὶ ἀνεπιλήπτως εἴκοσιν ἔτη πολιτευόμενος ἐφ' οἷς τοσούτοις τῆς ἐμῆς διαγωγῆς ἀξίοις*
239α *μάρτυσιν ἐπεποίθειτε τῇ τῶν ἀρχόντων εὐνοίᾳ καὶ τοῦ λαοῦ πρός με χρη|στῇ διαθέσει πάνυ θαῤῥῶν καὶ οὕτω τὸ ἀποβησόμενόν μοι πάλιν ἐν τούτοις πρόδηλον ἅπασιν ἐποιούμην, ὡς ἔφθην εἰπὼν προαπολογούμενος, ὥσπερ καὶ τοὺς ἁγίους τῶν λεγομένων καὶ ὅσον οὔπω συμβησομένων μοι μάρτυρας ἐπαγόμενος ἀψευδεῖς λέγοντας ἐν πνεύματι καὶ καθολικῶς ἀποφαινομένους τοῖς αἱρουμένοις σωθῆναι καὶ ταῦτα μετὰ πολλῶν: Εἰ προσέρχῃ δουλεύειν Κυρίῳ τῷ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμοὺς καὶ εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρει καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· καὶ καρτέρει τὰς θλίψεις, ἐν αὐταῖς γὰρ αἱ ἀρεταί. Καθάπερ ἐν ἀκάνθαις ῥόδα φύονταί τε καὶ αὔξονται· καὶ : ἔπαρον πρὸς πειρασμοὺς καὶ οὐκ ἔστι σῳζόμενος. Καὶ : ὁ*
239β *φεύγων πειρασμὸν ἐπωφελῆ, φεύγει ζωὴν αἰώνιον· | καὶ : ὥσπερ χειμὼν γεννᾷ τὸ ἔαρ ἐν τοῖς ἐνιαυτοῖς, οὕτως ἡ κατὰ Θεὸν θλῖψις ἐν τῇ ψυχῇ τὰς ἀρετάς. καὶ ὥσπερ ἡμεῖς ἐν τούτῳ εὐφραινόμεθα, οὕτω καὶ ἐν ἐκείναις Θεὸς ἐπιτέρπεται· καὶ : οὐ δίδωσι Θεὸς χάρισμα μέγα χωρὶς μεγάλου πειρασμοῦ· κατὰ γὰρ τοὺς πειρασμοὺς καὶ τὰ χαρίσματα ὡρίσθη ὑπὸ τοῦ Θεοῦ κατὰ τὴν σοφίαν αὐτοῦ· καὶ : ὡς ἀδύνατόν ἐστιν ἀθλητὴν στεφανωθῆναι μὴ παλαίσαντα, οὕτως οὐκ ἔστι γενέσθαι χριστιανὸν ἄνευ ἀγώνων· καὶ : τοῦτο ἔργον μοναχοῦ, τὸ προσδοκῆσαι πειρασμὸν ἕως ἐσχάτης ἀναπνοῆς· καὶ : πᾶς παιδαγωγὸς καὶ διδάσκαλος καὶ ἰατρὸς καὶ νομοθέτης καὶ δικαστὴς εἰς τοῦτο κεῖνται, εἰς τὸ μισεῖσθαι παρὰ τῶν οἷς ἐτάχθησαν ὠφελεῖν, καὶ βαρεῖς καὶ*
240α *φορτικοὶ καὶ ἀηδεῖς φαίνεσθαι· τὸ δὲ αἴτιον ὅτι οὐ δι' ὧν τρόπων | ὠφελοῦσιν ἀλλὰ δι' ὧν λυποῦσιν.*

Ἀλλὰ ταῦτα μὲν καὶ τοιαῦτα, ὧν καὶ ἐπιλαθέσθαι δοκεῖτέ μοι, διὰ ζώσης φωνῆς πολλάκις εἴρηται πρὸς ὑμᾶς· νῦν δὲ πάλιν τοῖς τότε ταὐτὰ διὰ γραμμάτων ἀκούσαντες, σύνετε καὶ γνῶτε ὡς οὐκ ἔνι σωθῆναι χωρὶς πειρασμῶν καὶ ὡς οὐδὲν δεινὸν πέπονθα ἀλλὰ τὸ καταθύμιόν μοι πεπλήρωται· καὶ λοιπόν, εἰ βούλεσθε, συγχάρητέ μοι, ὅτι κἀγὼ συγχαίρω τοῖς ἀξιουμένοις μακαρισμοῦ· καὶ ἀκούσατε διὰ ποίων αὐτοὶ τούτου μέτοχοι γίνονται. Αὐτίκα γοῦν ὁ ἀδελφόθεος Ἰάκωβος πᾶσι τοῖς πιστοῖς παραινεῖ λέγων «πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις· ὅτι τὸ δοκί-
240β *μιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· | ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι ἐν μηδενὶ λειπόμενοι». Καὶ πάλιν·*

---

97 *συνέῤῥαψε* cod. 104 *καὶ* supplevi. 107 *καὶ δεῦτε... μεγαλυνοῦμεν* in marg. infer. 118 *ὑπεξαίρων* cod. 120 *τοῦτο* cod.

162-165 *Jac.* 1,2-4.

---

133 *τοσούτ(οις) τῆς.... (ἀξίοις) μάρτυσιν ἐπεποίθ(ειτε)* supplevi. 135 *θαῤῥεῖν* cod. 143 *αὔξονται* supplevi. *(πρὸς) πειρασμοὺς* supplevi. *ἔστι* supplevi. 154 *δι' ὧν τρόποις* cod.

*«μακάριος ἄνθρωπος ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται
τὸν στέφανον τῆς ζωῆς ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν».
Ἀνὴρ ἀπείραστος ἀδόκιμος. Καὶ ἔτι ὑπόδειγμα λάβετε, ἀδελφοί μου, τῆς
κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι
Κυρίου. «Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας». Τούτῳ συνῳδὰ καὶ ὁ κορυ-
φαῖος τῶν ἀποστόλων ὑποτίθεται Πέτρος καὶ φησὶν «εἰ δέον ἐστὶ λυπηθέντες
ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον
χρυσίου τοῦ ἀπολλυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ εἰς ἔπαινον*
241α *καὶ | τιμὴν καὶ δόξαν ἐν τῇ ἀποκαλύψει Ἰησοῦ Χριστοῦ». Καὶ αὖθις «τοῦτο
χάρις, εἰ διὰ συνείδησιν Θεοῦ, ὑποφέρει τις λύπας πάσχων ἀδίκως· ποῖον
γὰρ κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε. ἀλλ' εἰ ἀγαθοποι-
οῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ· εἰς τοῦτο γὰρ
ἐκλήθητε· ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν ἡμῖν ὑπολιμπάνων ὑπογραμ-
μόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν,
οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει,
πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως». Σὺν τούτοις καὶ τὸ
τοῦ Χριστοῦ στόμα ὁ Παῦλος φησὶν ὅτι «δικαιωθέντες ἐκ πίστεως εἰρήνην*
241β *ἔχωμεν πρὸς τὸν Θεόν· οὐ μόνον δὲ ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς | θλίψεσιν,
εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ
δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Καὶ πάλιν· «τὸ γὰρ παραυτίκα
ἐλαφρὸν τῆς θλίψεως αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων
ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα». Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ
νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. Πιστὸς δὲ
ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν
τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. Καὶ αὖθις
«Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι
καὶ ἐκλέλησθε τῆς παρακλήσεως ἥτις ἡμῖν ὡς υἱοῖς διαλέγεται· υἱέ μου, μὴ*
242α *ὀλιγώρει | παιδείας Κυρίου μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ
ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν
ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς ὃν οὐ
παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα
νόθοι ἐστὲ καὶ οὐχ υἱοί». Ὁρᾶτε τίσι συντάττει τοὺς μὴ ἐνταῦθα παιδευομέ-
νους τὸ σκεῦος τῆς ἐκλογῆς; Καὶ μάλα εἰκότως φαίην ἂν ἔγωγε. Εἰ γὰρ δύο*

166-167 *Jac. 1,12.* 171-174 *I Pe. 1,6-7.* 174-181 *I Pe. 2,19-23.* 182-185 *Ro. 51,3-5.* 185-187 *I Cor. 4,17-18.* 191-196 *He. 12,4-8.*

---

176 *εἰ* deest cod. 192 *υἱέ,* cod.

*τινὶ παῖδες ὦσιν, ἵν' ἐπὶ παραδείγματος ἴδωμεν τὸ λεγόμενον, ὁ μὲν ἐκ γνη-
σίας γαμετῆς, ὁ δ' ἐξ ἐρώτων ἑταιρικῶν, ἀμφότεροι δὲ ἀτακτοῖεν· ποτέρου
ἄρα τῷ πατρὶ μελήσει τῆς διορθώσεως; οὐχὶ τὸν μὲν παντοίως μετελεύσεται,*
242β *κἂν δέῃ μαστίγων καὶ πληγῶν μή τι παράπαν φει|δόμενος; τοῦ δὲ ἧττω
θήσεται λόγον; παντί που δῆλον. Οὕτως οἱ πειρασμοὶ καὶ αἱ θλίψεις πολλοῦ
παρὰ τῷ Θεῷ ἠξίωνται λόγου καὶ σύντροφοι ἐξ ἀρχῆς τῇ καθ' ἡμᾶς εὐσεβείᾳ
γεγόνασιν. Ἐξ αὐτῆς γὰρ τῆς εἰς γῆν καταβολῆς τοῦ κηρύγματος, κἀκείνη
καὶ αὗται συνανεφύησαν· καὶ τί λέγω τοῦ κηρύγματος; Αὐτὸς γὰρ ὁ ἡμέτε-
ρος Σωτήρ, ἡνίκα τὸ τῆς ἡμετέρας φύσεως φύραμα εἵλετο ὑποδῦναι, ἐξ αὐτῆς
αὐτίκα τῆς εἰς τὸν βίον προόδου συνεπλάκη τοῖς πειρασμοῖς. Ὅτε γὰρ <ὁ>
τῆς Ἰουδαίας τηνικαῦτα κρατῶν πρὸς φόνον αὐτοῦ καθωπλίζετο καὶ εἰς Αἴγυ-
πτον μὲν μετὰ τῆς μητρὸς ἐδραπέτευσεν, ἐξ Αἰγύπτου δὲ πάλιν εἰς Ἰουδαίαν,*
243α *κἀκεῖθεν εἰς Ναζαρὲτ τοὺς φονῶντας ἀποφεύγων | ἆρά γε τῶν πειρασμῶν
οὕτω κατ' ἐκείνου πνεόντων, ἐκεῖνος πρὸς ἄνεσιν ὅλως ἢ περιφάνειαν ἑώρα
τὰ ἔξωθεν; οὐμενοῦν. ἀλλ' ἐξ αὐτοῦ τοῦ τόκου μέχρι τῆς τελευτῆς τοῦ κατ'
ἄνθρωπον βίου πενίᾳ καὶ λιτότητι χαίροντα μετὰ πολλῆς εὑρίσκομεν τῆς περι-
ουσίας. Τί γὰρ σπηλαίου ταπεινότερον; τί δὲ τοῦ μή που κλῖναι ἔχειν τὴν
κεφαλὴν εἰς λόγον πενίας ὑπέρτερον; Καὶ τὸ τέλος δὲ τῆς ἐνταῦθα ζωῆς
ὁποῖον; ὡς λίαν περιώδυνον καὶ ἀτιμίας μεστόν. Ἐπὶ διαβολῇ γὰρ ἀνταρ-
σίας ὁ οὐράνιος βασιλεὺς τεθνηκέναι κατεψηφίζετο καὶ τέλος μετὰ τὰς
ἀνυπερβλήτους ὕβρεις ἐκείνας τὴν πορφυρᾶν χλαῖναν, τοὺς χλευασμούς, τοὺς*
253β *κολαφισμούς, τὰ ῥαπίσματα, τὰς μάστιγας, τῷ σταυρῷ δι' ἐμὲ γυμνὸς κατα-
δικασθείς, κακούργου δίκην, Σωτήρ μου, ἐκρέμασο. Καὶ οὐχὶ μὲν <ἡ> κατὰ τὸ
ἀνθρώπινον ζωὴ τῷ Σωτῆρι οὕτω διήνυσται, ἑτέρως δὲ εἶχον οἱ λόγοι· ἀλλ'
ἐν πᾶσιν οἷς τὰ πρακτέα διδάσκειν ἐβούλετο οὐδὲν ἕτερον ὅτι μὴ τὸ ἑαυτῶν
ἀφειδεῖν ἐν ταῖς θλίψεσιν ὁρῶμεν διδάσκοντα. Ποτὲ μὲν λέγοντα «στενὴ ἡ
πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν», καὶ «ἐν τῷ κόσμῳ
θλῖψιν ἕξετε», καὶ «κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται»·
ποτὲ δὲ παραινοῦντα «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν»,
καὶ «ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται». Καὶ οὐχὶ τοὺς πλούτῳ
βρίθοντας καὶ χαίροντας καὶ τρυφῇ προσκειμένους, ἀλλὰ τοὺς πτωχοὺς τῷ*
244α *πνεύματι, τοὺς κλαίοντας, | τοὺς μισουμένους, τοὺς ὑβριζομένους, τοὺς διω-*

---

224 *Math. 7,14.* 225 *Ino. 16,33.* 226 *Ino. 16,20.* 227 *Lu. 21,19.* 228 *Math. 24,13.*

---

199 *παράδειγμα* cod. 200 *ποτέρων* cod. 209 <*ὁ*> addidi 210 *ἐξ Αἰ... πάλιν* in marg. inf. 211 *ἄρα δε* cod. 211-212 *(ἀποφεύγων) ...ολ(ως)* supplevi. 218 *τεθνήσκειν* cod. forsitan *τεθνήξειν*.

κομένους, τούτους μακαρίους καὶ ζηλωτοὺς ἀποτείνεται. Καὶ τῆς εἰς τὰ δεινὰ καρτερίας ἔπαθλον τὴν ἐν οὐρανοῖς βασιλείαν χαρίζεται. Τούτου ἄρα κατ' ἴχνος οἱ θεῖοι ἀπόστολοι, καὶ μετὰ τοὺς ἀποστόλους οἱ μάρτυρες πορευόμενοι, τοὺς μυρίους ἐκείνους ἄθλους διήνεγκαν, καθ' ἑκάστην ἐλαυνόμενοι τὴν ἡμέραν, εἰς διάφορα κατακλειόμενοι δεσμωτήρια, μαστιζόμενοι, προσπαλαίοντες κρύει, λιμῷ καὶ δίψῃ συνεχῶς πιεζόμενοι, καὶ πολυτρόποις θανάτοις<καὶ>ἐπαγωγαῖς ἀπαλλαττόμενοι [καὶ] τοῦ ζῆν. Καὶ ταῦτα ἐν ἀρχαῖς τοῦ κηρύγματος, ὅτε μάλιστα ἡμῖν ἔδει τῆς ἐκείνων ζωῆς καὶ τῆς ἄνωθεν αὐτοὺς
244β *ἐχρῆν ἀπολαύειν ῥοπῆς, ὥστε μὴ | τὴν τοῦ κηρύγματος ἐπίδοσιν εἴργεσθαι. Ἀλλ' ὅμως οὐκ ἐνῆν ἄλλως αὐτοὺς μιμήσασθαι τὸν διδάσκαλον. Τούτων καὶ ὁ τῶν ἀσκητῶν θεῖος ὅμιλος τοὺς μαρτυρικοὺς ἄθλους ζηλώσας, τὸ κατὰ προαίρεσιν καὶ οὗτος μαρτύριον ἤνεγκε, ταῦθ' ἑκουσίως ὑπερχόμενοι πάντως ἅπερ ἐκείνοις ἀκουσίως συνέπιπτον. Ἐπεὶ γὰρ μὴ ἐνῆν ὑφ' ὁτουοῦν διώκτου τηνικαῦτα βασάνοις ἐκδίδοσθαι, αὐτουργοί, οἷον εἰπεῖν, αὐτοὶ ἑαυτοῖς τῶν βασάνων γινόμενοι, ταῖς τῆς ἀσκήσεως μάστιξι τὰ σώματα κατατείνοντες καὶ τῇ ἀπονεκρώσει τῆς σαρκός, τρόπον ἕτερον ἑαυτοὺς θανατοῦντες, τὸν τῆς ζωῆς αὐτῶν ἅπαντα διετέλεσαν χρόνον. Συνήκατε τίνι τρόπῳ καὶ πόθεν ἡ σωτη-*
245α *ρία τοῖς αἱρουμένοις προσγίνεται; Ὥστε μᾶλλον κεχ|αρισμένοι Χριστῷ οἱ πειρασμοῖς καὶ θλίψεσι προσπαλαίοντες, ὧν τῆς μερίδος γενοίμην. Αὕτη γάρ ἐστιν ἡ τεθλιμμένη τρίβος ἡ πρὸς ζωὴν τοὺς ταύτην ὁδεύοντας ἄγουσα, ἐπεὶ ἀθλήσεως ἄνευ οὐδεὶς ἀξιοῦται στεφάνων, ὡς εἴρηται.*

Ἀλλὰ τί ταῦτα, ἴσως φήσειεν ἄν τις, πρὸς σέ; οὐ γὰρ ὑπὲρ Χριστοῦ καὶ σοὶ τὸ παθεῖν ὡς ἐκείνοις. Κάλλιστα μέν, οὐδὲ τῆς τοιαύτης ἔρημος ἐλπίδος ἐγώ, λέγω δὴ τοῦ παθεῖν πολλὰ ὑπὲρ τοῦ Χριστοῦ. Ὑπὲρ γὰρ τῆς εἰς αὐτὸν εὐσεβείας καὶ τοῦ καθ' ἡμᾶς ὀρθοῦ δόγματος ἐξ ἁπαλῶν ὀνύχων ἄχρι καὶ τήμερον λογισμοῖς προσπαλαίω. Ἡδονὰς παραιτοῦμαι, ἀνθίσταμαι πάθεσι καὶ δαίμοσι μάχομαι καὶ χωρὶς τῶν παρεκτὸς παρὰ πάντων τῶν
245β *ἀσεβῶν | ὡς δυσσεβής, παρ' ἐνίων δὲ ὁμοπίστων ὡς βδελυκτὸς μισοῦμαι καὶ ἀποτρόπαιος. Δῆλον δὲ κἀκεῖθεν ὡς οὐκ ἄμισθος ἡ ἐμὴ ἐξορία παρὰ Θεῷ. Ὁ γὰρ ἐνὸν ἀτάραχος μένειν, εἰ σιγῴην μόνον τὸ ἀληθές, καὶ πάσης πρὸ πάντων τιμῆς ἀπολαύειν, τούτων μὲν ὡς μηδαμινῶν ὑπερφρονήσας, εἰπὼν αἰρέτω πᾶσα ἀνθρωπίνη τιμὴ καὶ δόξα, ἥ με τῆς σωτηρίου ἐλπίδος ἀπογυμνοῖ· ἐμοὶ καὶ τιμὴ καὶ δόξα ἡ διὰ Χριστὸν καὶ τοὺς ἐκείνου νόμους μισεῖσθαι καὶ ἐλαύνεσθαι καὶ μυρίαν ὑπομένειν τὴν δυσπραγίαν, κἂν καὶ αὐτὴν οἰκτρότατα τὴν ζωὴν ἀφαιρῶμαι, ὅτε καὶ τῷ ὄντι μακάριος ἔσομαι, ἑλόμενος δὲ ὕβριν καὶ ἐξορίαν καὶ θάνατον, πῶς ἄμισθος ἔσται ἡ πρόθεσίς μου καὶ ἡ*
246α *τοσαύτη ὑπομονή; οὕτω | γὰρ ἂν καὶ πάντας ἁγίους ἀποστερήσαιμεν τῶν*

---

247 *αὐτόν* cod. 247 - 248 *(σωτηρία)* supplevi. 256 *(ἡδον)ὰς* supplevi. 263 *ἐμὴ* cod.

ἀκηράτων ἐκείνων μισθῶν, ὡς ἀνταλλαξαμένους τὸ ὑπὲρ τῆς ἀληθείας καὶ μάχεσθαι καὶ θανεῖν ζωῆς καὶ εἰρήνης καὶ πάσης ἀνέσεως. Ὑπὲρ γὰρ τοῦ μὴ σιγᾶν τὴν ἀλήθειαν μόνον Χρυσόστομος καὶ Γρηγόριος, Ἀθανάσιος ὁ πολύτλας, Παῦλος ὁ ὁμολογητὴς καὶ Μαρτῖνος ὁ θεῖος, μακράν που τῶν οἰκείων ἀπηλάθησαν θρόνων· Μάξιμος ἀφῃρέθη τὴν φιλόσοφον γλῶτταν· ὁ Δαμασκηνὸς τὴν δεξιὰν ἀπεκόπη· καὶ πρὸ τούτων ὁ Πρόδρομος ἀπετμήθη τὴν κεφαλήν· καὶ πᾶς ὁ τῶν ἁγίων κύκλος ἅπαν ὑπέστη δεινόν. Ὅτι δὲ αὐτὸς εἴπερ ἤθελον καὶ τὴν πίστιν μεταμεῖψαι ἢ συνευδοκεῖν τοῖς τὰ φαῦλα πράττουσιν ἀναιδῶς ἢ κἂν γοῦν σιγᾶν τἀληθῆ μόνον, οὐκ ἂν τῆς Κρήτης
246β *ἐ|διωκόμην καὶ τυφλῷ δῆλον. Ἀλλὰ μὴ γένοιτό μοι ποτὲ τοιαύτῃ ἀνοίᾳ περιπεσεῖν, κἂν μυριάκις δέῃ με τὴν ζωὴν ἀποῤῥῆξαι, ὥστε φόβῳ δεινῶν ἢ κολακείᾳ ἡδέων σιγᾶν τὴν τοῦ Χριστοῦ μου ἀλήθειαν. Κρεῖττον γὰρ ἀνατέλλειν τὸν ἥλιον καὶ τοὺς ἀμβλυωποῦντας λυπεῖσθαι, ἢ καθολικὴν σκοτίαν εἶναι καὶ τὰ καλὰ τῶν κακῶν ἀδιάκριτα, ἢ καὶ τὴν τῆς πίστεως σιγητέον ὁμολογίαν αἰδοῖ τῶν ἀπίστων, ὃ καὶ τῆς φόβῳ θανάτου ἀπάρξασθαι παροιμίας ἔργῳ ἀνοητότερον. Τοιαύταις γὰρ σοφῶν ὑποθήκαις στοιχοῦμεν ἡμεῖς· «ἐὰν διδάσκοντός σου τὸν λόγον τῆς ἀρετῆς», φησί, «διεγείρῃ τινὰς ὁ μισόκαλος πρὸς τὸ θλίβεσθαι, μὴ δειλιάσῃς μηδὲ διὰ τὸν φόβον σιγᾷς τὴν ἀλήθειαν·*
247α *φοβερὸν γὰρ οὐ τοῦτο ἀλλὰ τὸ ἐμπεσεῖν εἰς χεῖρας | Θεοῦ ζῶντος. Τὸ δὲ σιγᾶν τὴν ἀλήθειαν χρυσίον ἐστὶ θάπτειν». Καὶ πάλιν· «Οἱ ἀνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποτρέψαι σε οὐ δυνήσονται, μηδὲ τῆς πρὸς αὐτοὺς ἀγάπης ἐκκρουέτωσαν· ἀλλὰ φύλαττε σεαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως. Μὴ μόνον ἐπὶ τῆς ἀσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας ἢ ἄλλως δυσχεραίνοντας πραότητος καὶ στοργῆς. Καὶ γὰρ τοῦτο ἀσθενὲς τὸ χαλεπαίνειν αὐτοῖς, ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λιποτάκται ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύντα συγγενῆ καὶ φίλον». Καὶ ἐν τῇ ἀμφιέσει δὲ τοῦ μοναχικοῦ*
